Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
ματρόθεν Ἀστυδαμείας. ἀμφὶ δ' ἀνθρώ-
πων φρασὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,

ἀντ. β′ ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Ἀλκμάνας κασίγνητον νόθον
σκάπτῳ θενὼν
σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς.
αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ' ἐς θεὸν ἐλθών.

ἐπ. β′ τῷ μὲν ὁ χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
εὐθὺν ἐς ἀμφιθάλασσον νομόν,
ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυ-
σέαις νιφάδεσσι πόλιν,
ἁνίχ' Ἁφαίστου τέχναισιν
χαλκελάτῳ πελέκει πατέρος Ἀθαναί-
α κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ·
Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.

20 τοῖσιν] τοι νῦν C : τοίνυν $D^{ac}D^{l}$ 21 ἀγγέλων $CD^{ac}V$ 24 φρασὶν $ABD^{s}E^{l}$ : φρεσὶν $CD^{l}E^{s}GV$ 25 ἀμήχανον A 26 καὶ om. A φέρτερον A 27 Ἀλκμήνης C : Ἀλκμήνας rell.: corr. Schroeder 28 θένων codd., corr. Blomfield 29 ἔκτανεν DEGV : ἔκτανε B : ἔκταν' ἐν AC 31 παρέπλαξαν D 32 ναῶν] νωμᾶν Bergk 33 εὐθὺν $E^{\gamma\rho}G$ : εὐθῦν' B : εὔθυν' ACE 34 χρυσέαισι vett., corr. Tricl. 35 τέχναισι codd., corr. Boeckh 36 χαλκελάτα $A^{1}$ : χαλκηλάτῳ E ἀθηναία vett., corr. Byz. 37 ἀνορούσαισ' $C^{ac}D^{ac}$ : ἀνορούσασ' rell.

στρ. γ′ τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
μέλλον ἔντειλεν φυλάξασθαι χρέος
παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ
σεμνὰν θυσίαν θέμενοι
πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' ἐγ-
χειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι προμαθέος αἰδώς·

ἀντ. γ′ ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν
ἔξω φρενῶν.
καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ.
τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλι. κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν

ἐπ. γ′ πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι φέρον·
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία μεί-
ζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω, ὅτε χθόνα δατέοντο
Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

39 φαεσίμβροτος Schroeder 40 ἐνέτειλε A : ἔντιλεν G 42 πρῶτον C : πρώτᾳ Hecker 43 ἰάναι BD$^{pc}$V 44 προμαθέως AB Αἰδώς Jebb 45 ἀτέκμαρτον codd., corr. E. Schmid 46–7 ὀρθᾶν ὁδῶν ἔξω φρένας Bergk 48 αἰθοίσας Boeckh : αἰθούσ(σ)ας codd. : αἰθαέσσας Bergk² 49 ἀκροπόλει codd., corr. Schroeder κείνοις ὁ μὲν Mingarelli νεφέλαν Ζεὺς vett., corr. Byz. 50 σφιν AE τεχνᾶν B 51 πασῶν D : πασᾶν B 53 ἀδόλου Hartung : ἀδόλως Christ 56 ἔμμεναι A 57 ἁλμυροῖς A : ἁλμυροῖσι rell. βέ(ν)θεσ(σ)ι vett., corr. Mosch.

στρ. δ' ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου·
καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν. ἀλλά νιν οὐκ
εἴασεν· ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας
αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.

ἀντ. δ' ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν
μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα νιν
πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κορυφαὶ
ἐν ἀλαθείᾳ πετοῖσαι· βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

ἐπ. δ' νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων·
ἔνθα Ῥόδῳ ποτὲ μειχθεὶς τέκεν
ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀν-
δρῶν παραδεξαμένους
παῖδας, ὧν εἷς μὲν Κάμιρον
πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίν-
δον τ'· ἀπάτερθε δ' ἔχον
διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν
ἀστέων μοίρας, κέκληνται δέ σφιν ἕδραι.

58 ἔνδειξεν] ἤνειξεν Bergk : ἄνδειξεν Fritzsche 59 μιν codd., corr. Mommsen χλωρᾶς A λεῖπον A 61 ἂμ πάλον Boeckh 62 πεδόθε B 63 ἔμφρονα V μάλοις Ceporinus 64 ἐκέλευσε A : κέλευσε(ν) rell.: corr. Mosch. 65 χεῖρας ἀνατεῖναι V: χεῖρ' ἐπαντεῖναι Bergk 66 παρφέμεν $A^{1}$ 67 κρόνον A φαενὸν $C^{ac}B^{1}$ : φανὸν Hermann νιν C : μιν rell. 68 γέρας] μέρος $AB^{\gamma\rho}C$ ἔσεσθαι vett., corr. Mosch. τελεύταθεν $B^{1}B^{\gamma\rho}C^{1}E^{1}$ : τελεύτασαν rell. 69 πεσοῖσαι A 70 μιν codd., corr. Mommsen 71 μιχθεὶς codd., corr. Schroeder 73 μὲν om. B κάμειρον codd., corr. e schol. A Schneidewin 74 ἰάλυσσον D τέκε(ν) vett., corr. Byz. ἔχον A : ἔχοντα B : ἔχοντι rell. 75 γᾶν τριχθὰ A 76 μοῖραν V σφισιν V

στρ. ε′ τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,
ὥσπερ θεῷ,
μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις.
τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ
τετράκις εὐτυχέων,
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.

ἀντ. ε′ ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ
ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι
Βοιωτίων,
Πέλλανά τ'· Αἰγίνᾳ τε νικῶνθ' ἑξάκις, ἐν Μεγάροι-
σίν τ' οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώ-
τοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,

ἐπ. ε′ ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ οἱ αἰδοίαν χάριν
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξεί-
νων. ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν
εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε οἱ πατέρων ὀρ-
θαὶ φρένες ἐξ ἀγαθῶν
ἔχρεον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι
σὺν χαρίτεσσιν ἔχει
θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

77 τληπολέμῳ AC 79 θεοῖς A 80 μάλων A κνισάεσσα AGV : κνισσάεσ(σ)α BCDE 81 ἐστεφάνωτο GV κλεινῶ A τοι ἐν C 82 κραναaῖσιν ἐν C 83 νιν A : μιν rell. 85 βοιωτίων A : βοιωτίας C : βοιωτῶν rell. : βοιώτιοι Byz. 86 αἰγίνα τε codd., corr. Boeckh ἑτέρου A 89 δίδου A 92 ἔχρεον A : ἔχραον rell. κοινὸν] κλεινὸν Herwerden 93 ἐραστειδᾶν vett., corr. Byz. τοι] τε A 93–4 θαλίας ἔχει A 94 μιᾷ μοίρᾳ AC : μοίρᾳ μιᾷ rell. 95 διαιθύσσουσιν codd., corr. Boeckh

## *OLYMPIA VIII*

## ΑΛΚΙΜΕΔΟΝΤΙ (ΑΙΓΙΝΗΤΗΙ) ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ

*στρ. α´* Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων, Ὀλυμπία,
δέσποιν' ἀλαθείας, ἵνα μάντιες ἄνδρες
ἐμπύροις τεκμαιρόμενοι παραπειρῶν-
ται Διὸς ἀργικεραύνου,
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
5 μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·

*ἀντ. α´* ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς·
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,
10 τόνδε κῶμον καὶ στεφαναφορίαν δέ-
ξαι. μέγα τοι κλέος αἰεί,
ᾧτινι σὸν γέρας ἕσπετ' ἀγλαόν.
ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
ἀγαθῶν, πολλαὶ δ' ὁδοὶ
σὺν θεοῖς εὐπραγίας.

*ἐπ. α´* Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος
16 Ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν Νεμέᾳ πρόφατον,
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν Ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων
20 ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
ἔνθα Σώτειρα Διὸς ξενίου
πάρεδρος ἀσκεῖται Θέμις

1 *χρυσεοστεφάνων* AV 2 *ἀληθείας* BCG 3 *ἀργεικεραύνου* BEGV 7 *τῶνδε* AC[pc] 8 *ἄνεται*] *ἄντεται* Wiskemann *εὐσεβείας* codd., corr. Boeckh 9 *ἄλσος ἔχων* A 11 *ἕσπητ'* G : *ἕσποιτ'* D[lit] 12 *ἐπ' ἄλλων* A : *ἐπ' ἄλλαν* C[a] 16 *ὃς* om. A[a]BG[ac]V *μὲν ἐν νεμέᾳ* vett., corr. Boeckh *πρόφαντον* vett., corr. Byz. : *προφανῆ* Schneidewin 17 *παρὰ* AE 18 *ἔθηκεν* A 20 *ἐξέννεπεν* AB

στρ. β′ ἔξοχ' ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρὸν
δυσπαλές· τεθμὸς δέ τις ἀθανάτων καὶ
τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν—
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι—

ἀντ. β′ Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦ-
ξαι, καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

ἐπ. β′ γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ' ἀτυζόμενοι ψυχὰς βάλον,
εἷς δ' ἀνόρουσε βοάσαις.
ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·
"Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός·

στρ. γ′ οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ῥήξεται
καὶ τερτάτοις." ὣς ἦρα θεὸς σάφα εἴπαις

23 ὅθι e paraphr. Mommsen πολλᾷ B : πολλὰ rell. ῥέπῃ Bergk : ῥέποι codd. 24 διακρῖναι A 26 παντοδαποῖσιν A : παντοδαποῖσι C : παντοδαποῖς rell. vett. 33 μιν A 36 λαῦρον ACV 38 ἐφαλλόμενοι Hecker γε τρεῖς A κάπετον AEV : κάππετον rell. 39 αὖ B δατιζομένω CV : δ' ἀτυζομένω D[ac] ἔβαλον C[ac] : βλάβεν Ahrens : θάνον Wiskemann 40 ἀνόρουσε B : ὄρουσε A : ἐσόρουσε rell. βοάσαις DGV[ac] : βοάσας rell. vett. 42 χειρὸς A 43 ὡς A 44 πεφθὲν C βαρυκτύπου A : βαρυγδόπου F 45 πρώτοισιν BDEGV ῥήξεται Bergk : ἄρξεται codd. : ἄγξεται Ahrens : οἴξεται Rauchenstein : ῥάξεται Wilamowitz 46 τερτάτοις Ahrens : τετράτοις ABCD GV : τετάρτοις E ἦρα Schroeder : ἄρα codd. εἴπαις C[ac] : εἴπας rell. vett.

Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίπ-
πους καὶ ἐς Ἴστρον ἐλαύνων.
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τάνυεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις

ἀντ. γ' καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων
κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχας

ἐπ. γ' ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

στρ. δ' ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακών,
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσ-
σαν καὶ ἐπίκρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον·

47 ξάνθον τε A εὐίπποις B ἐς om. B 48 ἰσθμὸν ποντίαν $D^{ac}E$ 52 δαιτικλυτάν Bergk : δαῖτα κλυτάν codd. 53 ἔσεται BDE 54 μελησίᾳ AB ὕμνων $A^{pc}E$ 55 βαλλέτω A 58 μάχας Schroeder : μάχαν codd. : μαχᾶν Wiskemann 59 δέ τοι τί B : δέ τι $A^{1}E$ 60 ῥαΐτερον codd., corr. Boeckh 65 μὲν] μὲν γὰρ A 66 ἕλεν Hartung

Ἀΐδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ.

ἀντ. δʹ ἀλλ᾽ ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται
φυλλοφόρων ἀπ᾽ ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
κὰν νόμον ἐρδομένων·
κατακρύπτει δ᾽ οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

ἐπ. δʹ Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων
Ἀγγελίας ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ᾽ ἐπ᾽ ἐσλοῖς
ἔργα θέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν·
ἀλλ᾽ ἀπήμαντον ἄγων βίοτον
αὐτούς τ᾽ ἀέξοι καὶ πόλιν.

73 πράξαις C : πράξας rell. 78 καννόμον AE : κὰννόμον rell.: corr. Byz. ἐρδομένων Mosch. : ἐρδόμενον vett. 81 ἀκούσαις G : ἀκούσας rell. 82 ἐνέποι V : ἐννέποι rell. 83 σφι $A^{pc}B$ : σφιν rell. 86 μοῖραν D 87 ἔχων A 88 ἀέξει V

# *OLYMPIA IX*

## ΕΦΑΡΜΟΣΤΩΙ ΟΠΟΥΝΤΙΩΙ ΠΑΛΑΙΣΤΗΙ

στρ. α′ Τὸ μὲν Ἀρχιλόχου μέλος
φωνᾶεν Ὀλυμπίᾳ,
καλλίνικος ὁ τριπλόος κεχλαδώς,
ἄρκεσε Κρόνιον παρ᾽ ὄχθον ἁγεμονεῦσαι
κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
Δία τε φοινικοστερόπαν σεμνόν τ᾽ ἐπίνειμαι
ἀκρωτήριον Ἄλιδος
τοιοῖσδε βέλεσσιν,
τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ
ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας·

ἀντ. α′ πτερόεντα δ᾽ ἵει γλυκὺν
Πυθῶνάδ᾽ ὀϊστόν· οὔ-
τοι χαμαιπετέων λόγων ἐφάψεαι,
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ᾽ ἐλελίζων
κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις ἓ καὶ υἱόν,
ἃν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν
μεγαλόδοξος Εὐνομία. θάλλει δ᾽ ἀρεταῖσιν
σόν τε, Κασταλία, πάρα
Ἀλφεοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι κλυτὰν
Λοκρῶν ἐπαείροντι ματέρ᾽ ἀγλαόδενδρον.

ἐπ. α′ ἐγὼ δέ τοι φίλαν πόλιν
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,

2 φωνᾷ ἐν $BE^{ac}V^{ac}$ κεκλαδὼς A 4 φίλος B 8 τοιοῖς δ᾽ ἐν D βέλεσσιν $E^{\gamma\rho}V$ : μέλεσσιν rell. 11 ἵει CV 12 πυθῶνα δ᾽ codd., corr. Stephanus 13 παλαίσμασιν C : παλαίσμασι rell. 14 κλειτᾶς A 16 μεγαλόδωρος Thom. ἀρεταῖσιν $A^{1}$ : ἀρεταῖς cett. 17 σόν Bergk (παρά τε τὸ σὸν scholl. A) : ἶσόν codd. 21 τοι om. A : τι V

καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ
ἀγγελίαν πέμψω
ταύταν, εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν᾽· ἀγαθοὶ
δὲ καὶ σοφοὶ κατὰ δαίμον᾽ ἄνδρες

στρ. β′ ἐγένοντ᾽· ἐπεὶ ἀντίον
πῶς ἂν τριόδοντος Ἡ-
ρακλέης σκύταλον τίναξε χερσίν,
ἀνίκ᾽ ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδάν,
ἤρειδεν δέ νιν ἀργυρέῳ τόξῳ πελεμίζων
Φοῖβος, οὐδ᾽ Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ᾽ ᾇ κατάγει κοίλαν πρὸς ἄγυιαν
θνᾳσκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

ἀντ. β′ μανίαισιν ὑποκρέκει.
μὴ νῦν λαλάγει τὰ τοι-
αῦτ᾽· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν᾽ αἰολοβρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασσοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ᾽ εὐνᾶς ὁμόδαμον
κτισσάσθαν λίθινον γόνον·
λαοὶ δ᾽ ὀνύμασθεν.

24 πάντα AB 26 ταύταν] κλυτάν Wilamowitz 31 ἡνίκ᾽ AG ἤρεισε D 32 ἤρειδε vett., corr. Byz. δέ Hermann : τέ codd. μιν codd., corr. Mommsen πελεμίζων Thiersch : πολεμίζων codd. 33 ἔχει E 34 πρὸς] ἐς ACDE 35 θνησκόντων B 40 μή νυν Herwerden 42 γλῶσσαν] μοῖσαν Hecker αἶσα AG 43 παρνασσοῦ ACGV : παρνασοῦ BDE καταβάντες A 45 κτισσάσθαν Mommsen : κτισάσθαν A : κτησάσθαν BDEGV : κτησάσθην C 46 ὀνύμασθεν Bergk : ὠνύμασθεν C : ὀνόμασθεν rell.

ἔγειρ᾽ ἐπέων σφιν οἶμον λιγύν,
αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων

ἐπ. β′ νεωτέρων. λέγοντι μὰν
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλὰ
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων
ἔσαν χαλκάσπιδες ὑμέτεροι πρόγονοι
ἀρχᾶθεν, Ἰαπετιονίδος φύτλας
κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,
ἐγχώριοι βασιλῆες αἰεί,

στρ. γ′ πρὶν Ὀλύμπιος ἁγεμὼν
θύγατρ᾽ ἀπὸ γᾶς Ἐπει-
ῶν Ὀπόεντος ἀναρπάσαις, ἕκαλος
μείχθη Μαιναλίαισιν ἐν δειραῖς, καὶ ἔνεικεν
Λοκρῷ, μὴ καθέλοι νιν αἰὼν πότμον ἐφάψαις
ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
ἄλοχος, εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν,
μάτρωος δ᾽ ἐκάλεσσέ νιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορφᾷ τε καὶ
ἔργοισι. πόλιν δ᾽ ὤπασεν λαόν τε διαιτᾶν.

ἀντ. γ′ ἀφίκοντο δέ οἱ ξένοι
ἔκ τ᾽ Ἄργεος ἔκ τε Θη-
βᾶν, οἱ δ᾽ Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
υἱὸν δ᾽ Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων

47 σφίσιν AC οἶμον] οὖρον Gedike : ὕμνον Hecker 52 ἀνάπωτιν Tricl., ἄμπωτιν vett. : ἀνάπωσιν Mosch. ἐξαίφνας AC : ἐξαίφνης rell. 53 κἀκείνων A : κείνων δ᾽ rell. : corr. Schroeder 55 ἰαπετιονίδος E : ἰαπετεονίδος rell. 56 κορᾶν Tricl. : κουρᾶν vett. Κρονιδᾶν] Λελέγων Hermann 58 θυγατέρ᾽ AC ἀναρπάσαις B[1] : ἁρπάσας AV : ἀναρπάσας rell. ἕκηλος C 59 μίχθη codd., corr. Schroeder 60 νιν C : μιν cett. ἐφάψας codd., corr. Heyne 61 ἔσχεν CD 63 ἐκάλεσε CGV νιν AC : μιν rell. 65 ὑπέρφυτον A : ὑπέρφαντον V 68 καὶ om. D

Αἰγίνας τε Μενοίτιον. τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν
πρύμναις Τήλεφος ἔμβαλεν·
ὥστ' ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν νόον·
ἐξ οὗ Θέτιος γόνος οὐλίῳ νιν ἐν Ἄρει

ἐπ. γ' παραγορεῖτο μή ποτε
σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς.
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν
δίφρῳ· τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου
μίτραις, ὅτ' ἀμφότεροι κράτησαν

στρ. δ' μίαν ἔργον ἀν' ἁμέραν.
ἄλλαι δὲ δύ' ἐν Κορίν-
θου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις,
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτωτὶ δαμάσσαις
διήρχετο κύκλον ὅσσᾳ βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

72 ἀλκάεντας A : ἀλκᾶντας rell. τρέψαις BD : τρέψας rell. 73 ἔβαλεν V 76 γόνος vix sanum : γ' ἶνις Bothe : γοῦνος Mingarelli : γ' ὄζος Bergk νιν EV : μιν rell. 79 αἰχμῆς C 80 εὑρησιεπὴς BE : εὑρεσιεπὴς rell. 83 ἕποιτο M : ἕσποιτ' ἀεὶ A : ἕσποιτο rell. ἦλθον Byz. : ἤλυθον vett. 84 μίτραισιν A 85 ἔργου A 86 ἐγένοντο δ' D χάρμα A 88 κῦδος] κῦρος Hecker 89 δ' om. A : οἷα δ' E. Schmid 92 δαμάσσαις BD : δαμάσ(σ)ας rell.

ἀντ. δ' τὰ δὲ Παρρασίῳ στρατῷ
96 θαυμαστὸς ἐὼν φάνη
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὔρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος ἐνναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
100 τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι·
ἄνευ δὲ θεοῦ σεσιγαμένον
οὐ σκαιότερον χρῆμ' ἕκαστον· ἐντὶ γὰρ ἄλλαι

ἐπ. δ' ὁδῶν ὁδοὶ περαίτεραι,
106 μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μὲν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι
110 θαρσέων, τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν,
Αἶαν, τεόν τ' ἐν δαιτί, Ἰλιάδα,
νικῶν ἐπεστεφάνωσε βωμόν.

95 τᾶδε A 96 πανήγυριν ABEG 99 ἐνναλία N$^{ac}$: ἐναλία rell. ἀγλαίαισι μέμικται (ex *Ol.* i 91) A 100 κάρτιστον E. Schmid 102 ἀρέσθαι A: ἀνελέσθαι rell. vett. : ἑλέσθαι recc. 103 ἄνευθε δὲ BCDE : ἄνευθε Boeckh 105 περαίτεροι E 106 ἄμμε GV : ἄμε E : ἁμέρα B : ἅμα ACD 108 τοῦτον C 109 ὤρυσαι CDEV : ὄρουσαι A : ὤρουσαι B$^{ac}$ : ἄρυσαι Ahrens : αὔδασαι ? Schroeder 110 ἄνδρα A 112 Αἶαν, τεόν τε δαιτί Hermann : αἰάντειόν τ' ἐν δαιτί codd. ὀϊλιάδα AD

## *OLYMPIA X*

## ΑΓΗΣΙΔΑΜΩΙ ΛΟΚΡΩΙ ΕΠΙΖΕΦΥΡΙΩΙ ΠΑΙΔΙ ΠΥΚΤΗΙ

στρ. α′ Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
Ἀρχεστράτου παῖδα, πόθι φρενὸς
ἐμᾶς γέγραπται· γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων
ἐπιλέλαθ’· ὦ Μοῖσ’, ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.

ἀντ. α′ ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν
τόκος· ὁρᾶτ’ ὦν νῦν ψᾶφον ἑλισσομέναν
ὁπᾷ κῦμα κατακλύσσει ῥέον,
ὁπᾷ τε κοινὸν λόγον
φίλαν τείσομεν ἐς χάριν.

ἐπ. α′ νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων,
μέλει τέ σφισι Καλλιόπα
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύ-
κνεια μάχα καὶ ὑπέρβιον
Ἡρακλέα· πύκτας δ’ ἐν Ὀλυμπιάδι νικῶν
Ἴλᾳ φερέτω χάριν
Ἁγησίδαμος, ὡς
Ἀχιλεῖ Πάτροκλος.
θάξαις δέ κε φύντ’ ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ.

2 ἀρχιστράτου A 3 ἁμᾶs Mingarelli 4 χειρὶ BE 6 ἀλιτοξένων Mingarelli 7 ὁ μέλλων] ὀφέλλων Herwerden 8 καταίσχυνε Boeckh: καταισχύνει vett. 9 δέ γε A ὁρᾶτ’ ὦν Schneidewin: θνατῶν codd.: ὀνάτωρ Hermann: ὁμαρτέων Christ 10, 11 ὀπᾷ Bergk: ὅπα codd. 13 πόλις A ἐπιζεφυρίων AB 14 μέλλει BCV 15 κυκνέα vett.: κυκνεία Byz.: corr. Hermann 16 ὀλυμπία νικῶν BC: ὀλυμπιονικῶν A 17 ἰόλα ACE 19 ἀχιλλεῖ CDE 20 θήξα(ι)s codd., corr. Schroeder δέ κε BD: δὲ καὶ rell. vett. φύντ’] φῶτ’ CE 21 παλάμαις AC

στρ. β′ ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες,
ἔργων πρὸ πάντων βιότῳ φάος.
ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν
Διός, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος
πόνων ἑξάριθμον ἐκτίσσατο,
ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα,

ἀντ. β′ πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον
ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο, λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν
δάμασε καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ,
ὅτι πρόσθε ποτὲ Τιρύνθιον
ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖς ἥμενον Ἄλιδος

ἐπ. β′ Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας
Ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν ἴδε πατρίδα πολυ-
κτέανον ὑπὸ στερεῷ πυρὶ
πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας
ἵζοισαν ἑὰν πόλιν.
νεῖκος δὲ κρεσσόνων
ἀποθέσθ' ἄπορον.
καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
ἁλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.

22 παῦροί τινες ABC : τινὲς παῦροι DEGV   23 ἔργον G   βιότου C$^{s}$   24 σώματι A$^{1}$D$^{cl}$   25 πόνων Christ : βωμῷ BDG : βωμὸν A$^{1}$CE$^{s}$ : βωμῶν AE$^{1}$ : τελέων Schroeder   ἐκτήσαθ' C$^{ac}$ : ἐκτίσατο D   ἡρακλέης ante ἐπεὶ omnes praeter A   26 ποσειδάνειον B : ποσσειδάνιον DE   28 ὥστ' A   αὐγέα G$^{ac}$V   29 ἀέκων θ' C$^{a}$   30 λόχμαις B$^{ac}$   δοκεύσαις AB$^{1}$ : δοκεύσας rell.   κἀκείνους codd., corr. Boeckh   33 ἅμενον B   34 μολίωνες A   ξειναπάτας AC   35 βασιλεὺς ἐπειῶν BDEGV   ὕπιθεν BG : ὕπισθεν ACDE   36 ἴδε N : εἶδε vett.   41 κἀκεῖνος codd., corr. Boeckh   ἀβουλίαις codd., corr. Byz.   42 ἀντιάσας vett., corr. Boeckh

στρ. γ′ ὁ δ᾽ ἄρ᾽ ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν
λᾷαν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ·
περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ᾽ ἐν καθαρῷ
διέκρινε, τὸ δὲ κύκλῳ πέδον
ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

ἀντ. γ′ μετὰ δώδεκ᾽ ἀνάκτων θεῶν· καὶ πάγον
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ
νιφάδι. ταύτᾳ δ᾽ ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ᾽ ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

ἐπ. γ′ Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
ὁπᾷ τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ
πενταετηρίδ᾽ ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών;

στρ. δ′ στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον
ποσσὶ τρέχων, παῖς ὁ Λικυμνίου

43 ἄρ᾽] ἂν A ἔλσαις B : ἐάσας A : ἕλσας CV : ἔλσας rell. τε om. C 44 λαΐαν vett., corr. Ahrens 45 πάξαις A[1]B[cl]D : πάξας rell. 46 τὸ δ᾽ ἐν C 46–7 δάπεδον θῆκε vett., corr. Byz. 48 τιμάσαις ABC[1]D : τιμάσας rell. 49 ἀνάκτων] ἀθανάτων C 51 νώνυμος CD : νώνυμον ABEV : corr. Mosch. 55 τὸ δ᾽ ἐς ἀφανὲς CDE[γρ] πρόσω vett., corr. Byz. 56 ὁπᾷ Bergk : ὄπα DG : ὀπᾶ A : ὅπα rell. 57 ἀκρόθυνα D : ἀκροθίνια E 58 πρῶτος B: πρῶτα D 62 ἅρμασιν B 63 ἔνδοξα A[cl] 64 σταδίου Thiersch εὐθὺν τόνον Thiersch, Bergk : εὐθύτονον codd.: εὐθὺν πόνον Hermann 65 ποσὶ CD

Οἰωνός· ἶκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων·
ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος,
Τίρυνθα ναίων πόλιν·
ἀν' ἵπποισι δὲ τέτρασιν

ἀντ. δ' ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·
ἄκοντι Φράστωρ ἔλασε σκοπόν·
μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις
ὑπὲρ ἁπάντων, καὶ συμμαχία θόρυβον
παραίθυξε μέγαν. ἐν δ' ἕσπερον
ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

ἐπ. δ' ἀείδετο δὲ πὰν τέμενος τερπναῖσι θαλίαις
τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι
καί νυν ἐπωνυμίαν χάριν
νίκας ἀγερώχου κελαδησόμεθα βροντὰν
καὶ πυρπάλαμον βέλος
ὀρσικτύπου Διός,
ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀραρότα·
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων,

στρ. ε' τὰ παρ' εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ
ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη,
μάλα δέ οἱ θερμαίνει φιλότατι νόον·

66 μηδεάθεν A 67 δὲ φέρε BDGV ἄπο πυγμᾶς B 69 ἀνίπποισι καὶ A 70 Σᾶμος ὡλιροθίου Boeckh : σᾶμ' (σᾶμα δ' E) ἁλιρ(ρ)οθίου vett. (-ους A) 71 ἄκοντι δὲ vett., corr. Mosch. 72 δὲ νικεὺς A : δ' ἐνικεὺς rell. κυκλώσαις AB : κυκλώσας rell. συμμαχίᾳ A 73 παρέθηξε A 76 δὲ om. E πᾶν codd., corr. Schroeder θαλίαισι C 78 ἑσπόμενοι B καὶ νῦν codd., corr. Hermann ἐπωνυμίας Hartung 80 πυρπάλαμνον C 84 ἀντιάζει CE[1] 85 εὐκλεεῖ vett., corr. Byz. 86 ὥτε Bergk : ὥστε codd. 87 νεότατος $A^sC^1C^b$ : νεότατι rell. τοὔμπαλιν vett. (δ' ἔμπαλιν C), corr. Byz.

ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
ἐπακτὸν ἀλλότριον
θνᾴσκοντι στυγερώτατος·

ἀντ. ε′ καὶ ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ,
Ἁγησίδαμ', εἰς Ἀΐδα σταθμὸν
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ
βραχύ τι τερπνόν. τὶν δ' ἁδυεπής τε λύρα
γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν·
τρέφοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

ἐπ. ε′ ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ κλυτὸν ἔθνος
Λοκρῶν ἀμφέπεσον, μέλιτι
εὐάνορα πόλιν καταβρέχων·
παῖδ' ἐρατὸν ⟨δ'⟩ Ἀρχεστράτου
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ' Ὀλύμπιον
κεῖνον κατὰ χρόνον
ἰδέᾳ τε καλὸν
ὥρᾳ τε κεκραμένον, ἅ ποτε
ἀναιδέα Γανυμήδει θάνατον ἆλκε σὺν Κυπρογενεῖ.

88 ὁ πλοῦτος G 90 θνήσκοντι C 91 καλὰ μὲν vett., corr. Byz. ῥέξας A : ἔρξας CD 92 ἀγησίδαμ' codd., corr. Schroeder 93 πνεύσαις B[1] : πνεύσας rell. τε om. G 94 ἀναπλάσσει A 97 ἐγώ τε C 98 ἀμφιέπω Herwerden 99 δ' suppl. Mosch. 100 αἰνήσας A : αἴνεσας E χειρὸς vett., corr. Mosch. 104 κεκραμμένον D 105 γανυμήδει A : γαννυμήδει rell. ἆλκε (vel ἆλξε) P. Maas : ἄλαλκε codd. : ἄλεκε Garrod

# *OLYMPIA XI*

## ΑΓΗΣΙΔΑΜΩΙ ΛΟΚΡΩΙ ΕΠΙΖΕΦΥΡΙΩΙ ΠΑΙΔΙ ΠΥΚΤΗΙ

στρ. Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων,
ὀμβρίων παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχὰ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς·

ἀντ. ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει,
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως.
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν

ἐπ. κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω,
Ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι
ὔμμιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν
μηδ' ἀπείρατον καλῶν
ἀκρόσοφόν τε καὶ αἰχματὰν ἀφίξε-
σθαι. τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντ' ἂν ἦθος.

4 σὺν μόχθῳ Hermann πράσσων C : πράσσει Heyne 5 ἀρχὰ A : ἀρχαὶ rell. 8 ἄγκειται scholl. A : ἔγκειται rell. 9 ποιμαίνειν] πορσαίνειν Hecker 10 πραπίσιν C ὁμοίως B[1]C[1] : ὅμως ὧν C : om. rell. : ἐσαεὶ Mosch. 13 ἐπὶ] ἀμφὶ A 15 τῶν ζεφυρίων A[1] : τῶν ἐπιζεφυρίων codd. : corr. Boehmer 16 συγκωμάξετ' Fennell ἐγγυάομαι Herwerden 17 ὔμμιν e paraphr. Jongh : μή μιν codd. : μή τιν' Thiersch φυγόξεινον AC 19 τε] δὲ E ἐυφυὲς A 20 οὐδ' A διαλλάξαιντο (sine ἂν) codd. (ἂν add. C[s]), corr. Hartung

## *OLYMPIA XII*

### ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩΙ ΔΟΛΙΧΟΔΡΟΜΩΙ

στρ. Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,
Ἱμέραν εὐρυσθενέ' ἀμφιπόλει, σώτειρα Τύχα.
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοι-
σαι κυλίνδοντ' ἐλπίδες·

ἀντ. σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν·
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μι-
κρῷ πεδάμειψαν χρόνῳ.

ἐπ. υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν
ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας.
νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ', Ἐργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις ὁμι-
λέων παρ' οἰκείαις ἀρούραις.

2 ἱμέραν A : ἱμέρ' V : ἱμέρα rell. vett. εὐρυσθενέος CD[ac] τύχᾳ A 5 βολαφόροι C[ac]D[a] 6 τὰ δ'] ταὶ δ' E. Schmid τέμνοισαι B 10 ἀνθρώποισι A παρὰ] περὶ C ἔπεσσεν B 11 ἀνιεραῖς DV 12 ἐσθλὸν CD παῖδ' ἄμειψαν A : ποτάμειψαν B[s] 14 ἐνδομάχαις E 15 κατεφυλλορόησε codd., corr. Hermann 16 κνωσσίας A σ' ἄμερσε A : ἄμερσε rell. 18 δι' ἐκ πυθῶνος A 19 λουτρᾶν A

## *OLYMPIA XIII*

## ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩΙ ΣΤΑΔΙΟΔΡΟΜΩΙ ΚΑΙ ΠΕΝΤΑΘΛΩΙ

στρ. α′ Τρισολυμπιονίκαν
ἐπαινέων οἶκον ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον Ποτειδᾶνος, ἀγλαόκουρον·
ἐν τᾷ γὰρ Εὐνομία ναίει κασί-
γνηταί τε, βάθρον πολίων ἀσφαλές,
Δίκα καὶ ὁμότροφος Εἰρήνα, τάμι' ἀνδράσι πλούτου,
χρύσεαι παῖδες εὐβούλου Θέμιτος·

ἀντ. α′ ἐθέλοντι δ' ἀλέξειν
Ὕβριν, Κόρου ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν
νικαφόρον ἀγλαΐαν ὤπασαν
ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,
πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον

ἐπ. α′ Ὧραι πολυάνθεμοι ἀρ-
χαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον.
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;
τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,

3 ξένοισι E : ξείνοισι rell. τε C 5 ποτειδᾶνος B[1] : ποσειδᾶνος BC : ποτιδᾶνος DEV 6 ἐν τᾶ γὰρ C : ἐν τᾶδε δ' V : ἐν τᾶδε γὰρ BEG : corr. Tricl. κασίγνηταί τε BD : κασιγνήτα τε rell. ἀσφαλές N : ἀσφαλής rell. 7 ὁμότροφος C : ὁμότροπος rell. εἰράνα C ταμίαι codd., corr. Mommsen 10 θρασύθυμον C : θρασυμύθου Christ 14 ὤπασεν C[a] 15 ἀέθλοις G[1] : ἀέθλοισι rell. 18 ταὶ] καὶ Hartung διονύσου vett., corr. Mosch. 19 βοηλάτω C 20 τίς δ' ἄρ' Hermann ἔντεσι vett., corr. Mosch.

ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον
ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,
ἐν δ' Ἄρης ἀνθεῖ νέων
23b οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

στρ. β' ὕπατ' εὐρὺ ἀνάσσων
25 Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
δέξαι τέ οἱ στεφάνων ἐγκώμιον
τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας,
30 πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.

ἀντ. β' δύο δ' αὐτὸν ἔρεψαν
πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ·
35 πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύ-
λου θ' ἁλίῳ ἀμφ' ἑνί, μηνός τέ οἱ
τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ἔργα ποδαρκὴς
ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις,

ἐπ. β' Ἑλλώτια δ' ἑπτάκις· ἐν δ'
ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
41 Πτῳοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί·
ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε,
ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν

21 βασιλῆα codd., corr. Hermann 22 ἐπέθηκεν. ἐν δὲ V 26 μένοιο B 29 τέ οἱ C : δέ οἱ rell. 31 πρότερος C 37 πυθοῖ δ' C 38 ταὐτοῦ E ποδαρκὲς B[cl] 39 ἡμέρα BCE 40 ποσειδᾶνος C 41 πτοιοδώρῳ codd., corr. Bergk 42 Τερψίᾳ θ' E. Schmid : τερψίαι B[s] : τέρψιές θ' B[1]C : τέρψιες rell. vett. ἐρίτιμοί τ' codd., corr. E. Schmid 44 πολέεσσι D : πόλισιν Bergk : πολίεσσι Hermann

περὶ πλήθει καλῶν· ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.

στρ. γ′ ἕπεται δ᾽ ἐν ἑκάστῳ
μέτρον· νοῆσαι δὲ καιρὸς ἄριστος.
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ᾽ ἐν ἡρωΐαις ἀρεταῖσιν
οὐ ψεύσομ᾽ ἀμφὶ Κορίνθῳ, Σίσυφον
μὲν πυκνότατον παλάμαις ὡς θεόν,
καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,
ναΐ σώτειραν Ἀργοῖ καὶ προπόλοις·

ἀντ. γ′ τὰ δὲ καί ποτ᾽ ἐν ἀλκᾷ
πρὸ Δαρδάνου τειχέων ἐδόκησαν
ἐπ᾽ ἀμφότερα μαχᾶν τάμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
Ἑλέναν κομίζοντες, οἱ δ᾽ ἀπὸ πάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλ-
θόντα τρόμεον Δαναοί. τοῖσι μὲν
ἐξεύχετ᾽ ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·

ἐπ. γ′ ὃς τᾶς ὀφιώδεος υἱ-
όν ποτε Γοργόνος ἦ πόλλ᾽ ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινὸν
Παλλὰς ἤνεγκ᾽, ἐξ ὀνείρου δ᾽ αὐτίκα
ἦν ὕπαρ, φώνησε δ᾽· "Εὕδεις, Αἰολίδα βασιλεῦ;

47 ἐν om. C 49 ἐγὼ γὰρ Heyne δ᾽ ἴδιος codd., corr. Byz. 51 ἡρωΐαις C: ἡρώαις rell. 52 ψεύδομαι $C^a$: ψεύσομαι rell.: corr. Byz. ὡς θεόν] αἰνέων vel ὑμνέων Bossler 53 ἀντίαν $B^{ac}$ 54 προσπόλοις $C^s$DV 57 τέμνειν EV 59 κομίξοντες Hecker 65 τέ οἱ C 67 φώνασε codd., corr. Schroeder

ἄγε φίλτρον τόδ' ἵππειον δέκευ,
καὶ Δαμαίῳ νιν θύων
ταῦρον ἀργάεντα πατρὶ δεῖξον."

στρ. δ' κυάναιγις ἐν ὄρφνᾳ
κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν
ἔδοξεν· ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευ-
τὰν πράγματος, ὥς τ' ἀνὰ βωμῷ θεᾶς
κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ οἱ αὐτὰ
Ζηνὸς ἐγχεικεραύνου παῖς ἔπορεν

ἀντ. δ' δαμασίφρονα χρυσόν.
ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι
κελήσατό νιν, ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀνερύῃ Γαιαόχῳ,
θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρ-
κον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
φάρμακον πραῢ τείνων ἀμφὶ γένυι,

ἐπ. δ' ἵππον πτερόεντ'· ἀναβὰς δ'
εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων
αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου
τοξόταν βάλλων γυναικεῖον στρατὸν

68 δέκευ C : δέχευ BGV : δέχου E 69 νιν C : μιν rell. 69b ἀργᾶντα codd., corr. Mommsen 71 τόσα D : τόσσα rell. 76 ἀπ' ἐκείνου codd., corr. Boeckh 79 δ' ᾇ Kayser : δ' ᾆ E : δαὶ CD^a : δὲ BG^a πιθέσθαι D : πείθεσθαι rell. vett. 80 νιν C : μιν rell. 81 κραταίποδ' vett., corr. Byz. αὐερύῃ Rom. : ἀναρύῃ codd. 82 ἱππείᾳ vett., corr. Byz. 83 κτῆσιν vett., corr. Mosch. 86 ἔπαιξε C 87 δ' ἐκείνῳ codd., corr. Boeckh 88 ψυχρῶν Schroeder : ψυχρᾶς codd. ἐρήμων Hermann

καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
διασωπάσομαί οἱ μόρον ἐγώ·
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι
Ζηνὸς ἀρχαῖαι δέκονται.

στρ. ε' ἐμὲ δ' εὐθὺν ἀκόντων
ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
'Ολιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος.
'Ισθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ ἔπει
θήσω φανέρ' ἀθρό', ἀλαθής τέ μοι
ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴμφοτέρωθεν
ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ.

ἀντ. ε' τὰ δ' 'Ολυμπίᾳ αὐτῶν
ἔοικεν ἤδη πάροιθε λελέχθαι·
τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές.
νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν
τέλος· εἰ δὲ δαίμων γενέθλιος ἕρποι,
Δὶ τοῦτ' 'Ενυαλίῳ τ' ἐκδώσομεν
πράσσειν. τὰ δ' ὑπ' ὀφρύϊ Παρνασσίᾳ
ἕξ· Ἄργεΐ θ' ὅσσα καὶ ἐν Θήβαις· ὅσα τ' 'Αρκάσι βάσσαις
μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ·

ἐπ. ε' Πέλλανά τε καὶ Σεκυὼν
καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος
ἅ τ' 'Ελευσὶς καὶ λιπαρὰ Μαραθὼν

90 χείμαιραν C 91 διασιωπάσομαι Hermann 92 ὀλύμπῳ vett., corr. Byz. 92ᵇ δέκονται C : δέχονται rell. 95 κρατύνειν DEV 96 μοίσαισι vett., corr. Byz. ἑκὼν Mosch. : εἴκων vett. : ἐγὼν ? Mair 98 παύρῳ δ' codd., corr. Mommsen ἔπει θήσω] ἐπιθήσω BC 99 εἷς ὅρκος Bergk : ἔξορκος Christ δ' ἀμφοτέρωθεν codd., corr. Boeckh 100 ἐσθλοῦ C 103 τὰ δ' C 105 γενέθλιος N : ὁ γενέθλιος rell. 106 διὶ codd., corr. Boeckh ὑπ' C : ἐπ' rell. 107 ἕξ, ἄργεϊ θ' C : ἓξ ἄρατο, ἐν ἄργεϊ δ' B : ἐν ἄργεϊ δ' DEGV 'Αρκάσι βάσσαις Bergk : ἀρκάσιν ἀνάσσων codd. : 'Αρκὰς ἀνᾴσσων Hermann 109 σικυὼν codd., corr. Schroeder

ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου καλλίπλουτοι
πόλιες ἅ τ' Εὔβοια· καὶ πᾶσαν κάτα
Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν.
ἄγε κούφοισιν ἐκνεύσω ποσίν·
Ζεῦ τέλει', αἰδῶ δίδοι
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

112 καθ' vett., corr. Byz. 113 μᾶσσον vett., corr. Byz. ἰδέμεν codd.: ἀριθμεῖν Hartung: διΐμεν Christ 114 ἄγε . . . ἐκνεύσω (vel ἔκνευσον) P. Maas: ἀλλὰ . . . ἐκνεῦσαι codd.: ἄνα . . . ἐκνεῦσαι Kayser 115 τέλεαι B: τέλει $C^a$: τέλειε rell.: corr. Boeckh: τελέαν Mommsen αἰδῶ τε δίδοι codd., corr. Boeckh

# *OLYMPIA XIV*

## ΑΣΩΠΙΧΩΙ ΟΡΧΟΜΕΝΙΩΙ ΣΤΑΔΙΕΙ

στρ. α' Καφισίων ὑδάτων
λαχοῖσαν αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ', ἐπεὶ εὔχομαι. σὺν γὰρ ὔμμιν τὰ τερπνὰ καὶ
τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
κοιρανέοντι χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι πάρα
Πύθιον Ἀπόλλωνα θρόνους,
αἰέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.

στρ. β' ⟨ὦ⟩ πότνι' Ἀγλαΐα
φιλησίμολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε
ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα· Λυδῷ γὰρ Ἀσώπιχον τρόπῳ
ἐν μελέταις τ' ἀείδων ἔμολον,
οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ἕκατι. μελαντειχέα νῦν δόμον
Φερσεφόνας ἴθι, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν,
Κλεόδαμον ὄφρ' ἰδοῖσ', υἱὸν εἴπῃς ὅτι οἱ νέαν
κόλποις παρ' εὐδόξοις Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

2 λαχοῖσαν Boeckh: λαχοῖσαι codd. ταίτε Bergk καλλίβωλον C[ac] 5 ὑμῖν codd., corr. Hermann τερπνά τε καὶ C 6 τὰ γλυκέ' ἄνεται Kayser: τὰ γλυκέα γίνεται codd.: τὰ γλυκέ' οἴγνυται Bergk 8 οὐδὲ Schneidewin: οὔτε codd. 9 κοιρανέοισιν Boeckh 12 αἰέναον Schroeder: ἀένναον codd. vett.: ἀέναον recc. 13 ὦ suppl. Heyne 15 ἐπακοοῖτέ νυν Bergk: ἐπάκοοι νῦν codd.: ἐπαΐοιτε νῦν Hartung: ἐπάκοοί 'στε Shackle 16 εὐγενεῖ V 17 Λυδῷ Pauw: λυδίῳ(ω) codd. ἀσώπιον E ἐν τρόπῳ codd., corr. Schroeder 18 μελέταισίν τ' Boeckh: ἔν τε μελέταις Hermann 20 μελανοτειχέα Boeckh 21 περσεφόνας C ἴθι Byz.: ἔλθε C: ἐλθέ rell. vett. 22 κλεοδάμῳ B νέον B 23 κόλποις E: κόλποισι BCDGV εὐδόξοιο codd., corr. Bergk: εὐδόξου Boeckh

## *PYTHIA I*

## ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει
μὲν βάσις ἀγλαΐας ἀρχά,
πείθονται δ᾽ ἀοιδοὶ σάμασιν
ἁγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
αἰενάου πυρός. εὕδει δ᾽ ἀνὰ σκά-
πτῳ Διὸς αἰετός, ὠκεῖ-
αν πτέρυγ᾽ ἀμφοτέρωθεν χαλάξαις,

ἀντ. α′ ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ᾽ ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάϊ-
θρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλ-
γει φρένας, ἀμφί τε Λατοί-
δα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.

ἐπ. α′ ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόν-
τον κατ᾽ ἀμαιμάκετον,
ὅς τ᾽ ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,

Integrum carmen periit in B, sed lectiones B servare videtur Calliergis editio Romana 1 *φόρμιξ* D 3 *σήμασι* CD 4 *τῶν φροιμίων* E. Schmid 6 *αἰενάου* Schroeder : *ἀεννάου* CDEG$^{ac}$V : *ἀενάου* G$^{pc}$ Rom. *ἀετός* DE$^{1}$ *χαλάξαις* C$^{ac}$ Rom. : *χαλάξας* rell. 8 *ἀγκύκλω* C$^{ac}$ *βλεφάρων* C$^{s}$D *κλάϊθρον* Wackernagel : *κλαῖστρον* vett. : *κλάϊστρον* Tricl. 10 *κατασχόμενος* C Rom. : *καταγχόμενος* rell. 12 *κώματι* C Rom. : *κώμῳ* rell. 13 *ἀτύζονται* CE Rom. : *ἀτύζηται* DG : *ἀτύζεται* V

Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει
19b στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πανέτης
20b χιόνος ὀξείας τιθήνα·

στρ. β' τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ δ' ἁμέραισιν
μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν
θαυμάσιον προσιδέσθαι,
θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι,

ἀντ. β' οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶ-
τον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κά-
ρυξ ἀνέειπέ νιν ἀγγέλ-
λων Ἱέρωνος ὑπὲρ καλλινίκου

16 ἑκατοντοκάρανος G : ἑκατοντακάρηνος V 20 πανέτης Christ : πάνετες codd. 20b τιθάνα C 22 πηγαί E μὲν om. V 23 αἴθωνος V 24 κυλινδομένας Thiersch 26 προσιδέσθαι CEγρ Rom.: ἰδέσθαι V : πυθέσθαι DEG : τε ἰδέσθαι Mosch. παρεόντων C : παριόντων DEV Rom. : παρ' ἰδόντων Koraes : προσιδόντων Hecker 27 μελαμφύλλου Herwerden 30 ἐφέποις V γαίη D 31 ἐκύδανεν I : ἐκύδανε vett. 32 ἀγγέλων V : ἀγγέλλων ὡς D

ἐπ. β′ ἅρμασι· ναυσιφορήτοις δ᾽ ἀνδράσι πρώτα χάρις
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν
οὖρον· ἐοικότα γὰρ
κἂν τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσσεσθαι στεφάνοισί ⟨νιν⟩ ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλοι᾽ ἀνάσσων
Φοῖβε, Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν.

στρ. γ′ ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσ-
σοί τ᾽ ἔφυν. ἄνδρα δ᾽ ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ᾽ ὡσείτ᾽ ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ᾽ ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω
καὶ κτεάνων δόσιν εὐθύ-
νοι, καμάτων δ᾽ ἐπίλασιν παράσχοι.

ἀντ. γ′ ἦ κεν ἀμνάσειεν οἵαις ἐν πολέμοιο μάχαις
τλάμονι ψυχᾷ παρέμειν᾽, ἁνίχ᾽ εὑρί-
σκοντο θεῶν παλάμαις τιμὰν
οἵαν οὔτις Ἑλλάνων δρέπει

33 ἀνδράσιν Ahlwardt 34 ἐρχομένοις C 35 κὰν τελευτᾷ Rom.: καὶ τελευτᾷ C: ἐν καὶ τελευτᾷ DEG: ἐν καὶ τελευτὰν V$^{ac}$: καὶ τελευτὰν Boeckh φερτέρου C$^{1}$E$^{s}$Rom.: φερτέρα C$^{s}$DE$^{1}$V: φερτέραν Boeckh 37 ἔσσεσθαι Rom.: ἔσεσθαι codd. νιν suppl. Heyne: στεφάνοισιν CDEGV Rom. 38 θαλείαις C ὀνομαστάν C 39$^{b}$ παρνασ(σ)ῶ C$^{1}$DE 40$^{b}$ εὐανδροῦν Hermann 42 καὶ χερσὶ καὶ σοφοὶ C βιηταὶ V 43 ἕλκομαι D 44 χαλκοπάρειον E: χαλκοπάραον rell.: corr. Ahrens ἔξω om. V 45 μακραὶ C ῥίψαις Rom.: ῥίψας codd. ἀμεύσασθ᾽ C$^{b}$DG Rom.: ἀμεύσεσθ᾽ CEV ἐναντίους C 47 ἀμνάσειεν Boeckh: ἀμμνάσειεν E. Schmid: ἂν μνάσειεν codd. Rom. πολέμοιο Bergk: πολέμοισι codd. 48 τλήμονι D παλάμαις Rom.: παλάμαισι vett.

πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη· σὺν δ' ἀνάγκᾳ νιν φίλον
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν.
φαντὶ δὲ Λαμνόθεν ἕλκει
τειρόμενον μεταβάσοντας ἐλθεῖν

ἐπ. γ΄ ἥροας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτα-
σέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν·
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων·
χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος.
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον·

στρ. δ΄ τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔ-
κτισσε· θέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωριεῖς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων
Τυνδαριδᾶν βαθύδοξοι
γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.

50 φιλοκτήτοιο C$^{ac}$ : φιλοκτήτου V 51 ἀνάγκᾳ G : ἀνάγκα rell. νιν Mommsen : μιν codd. 52 ἔσανεν CD : ἔσανε EGV μεταβάσοντας amicus Boeckhii : μεταλ(λ)άσ(σ)οντας codd. 53 ἥροας Schroeder : ἥρωας codd. 58 πὰρ Rom. : περὶ C$^{pc}$V : παρὰ C$^{ac}$DEG δεινομένη C$^{ac}$ 59 πίθεο Tricl. : πείθεο vett. 61 κλεινὰν CE 62 ἔκτισσε· θέλοντι V : ἔκτισε· θέλοντι DEG Rom. : ἔκτισεν· ἐθέλοντι C : ἔκτισσ'· ἐθέλοντι Boeckh παμφίλου V : παμφύλω E 64 ὑπὸ E Rom. 65 δωριεῖς E : δωριῆς CDV : Δωρίοις Hermann ἀμάκλας V 66 ὀρνύμενον D αἰχμῆς C

ἀντ. δʹ Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν 'Αμένα παρ' ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρί-
νειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
70 υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί-
ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοίνιξ ὁ Τυρσα-
νῶν τ' ἀλαλατὸς ἔχῃ, ναυ-
σίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας,

ἐπ. δʹ οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόν-
τῳ βάλεθ' ἁλικίαν,
75 'Ελλάδ' ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος 'Αθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἄρα τᾶν πρὸ Κιθαιρῶνος μαχᾶν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
79b 'Ιμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,
80 τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ
80b πολεμίων ἀνδρῶν καμόντων.

στρ. εʹ καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώ-
πων, ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·

67 τέλει D 69 ἀγιστὴρ DGV 70 ἐπιτελόμενος C τε γεραίρων $C^{b}$DGV ἐς C, om. rell. 71 ἅμερος Hartung : ἥμερον Schroeder 72 ταρσηνῶν G ἀλαλατὸς $DG^{pc}V^{1}$ Rom.: ἀλαλητὸς $CEG^{ac}$ 73 συρακοσίων DG Rom.: συρακουσίων EV : συρρακουσίων C 74 ὅς σφιν E βάλεθ' ἁλικίαν DG Rom. : βάλετ' ἁλικίαν E: βάλετ' ἁλικίαν C : βάλεν ἁλικίαν Hecker 75 δουλίας Mosch.: δουλείας vett. ἀρέομαι Dawes: αἱρέομαι codd. (αἰρ- CE) 76 παρὰ G ἀθηναίων CDG 77 ἄρα τᾶν . . . μαχᾶν Wilamowitz : ἐρέω τὰν . . . μάχαν CDGV : ἐρέω . . . μάχαν (om. τὰν) E 78 μήδειοι E Rom.: μῆδοι CDGV 79 παρὰ Tricl. : πὰρ vett. ἔνυδρον $C^{a}$ : εὔανδρον $E^{a}$ 79b τελέσαις M Rom. : τελέσσαις vett. καμνόντων E 81 συντανύσαις C Rom.: συντανύσας DEGV 82 μεῖον C

ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώμα δικαίῳ
πηδαλίῳ στρατόν· ἀψευ-
δεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.

ἀντ. ε' εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ
μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς,
ὦ φίλε, κέρδεσιν εὐτρά-
πλοις· ὀπιθόμβροτον αὔχημα δόξας

ἐπ. ε' οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροί-
σου φιλόφρων ἀρετά.
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις.
οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινανίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται.
τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων·
εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ,
στέφανον ὕψιστον δέδεκται.

84 ἐσλοῖσιν EGV: ἐσθλοῖσιν CD  85 κρέσσων DGV Rom.: κρεῖσσον $CE^{s}$: κρεῖττον $E^{l}$: κρείσσων E  οἰκτιρμοῦ CEG: οἰκτιρμῶν DV Rom.  87 μέγα τι E  88 ἀμφοτέροισι vett., corr. Byz.  89 παραμένων $D^{ac}G$  90 ἀκοὴν E  ἡδεῖαν EV  91 ὥσπερ C: ὥστε DEGV Rom.: ὡσεὶ Turyn  92 ἀνεμόεν Rom.: ἀνεμόεν πετάσαις vett.  εὐτράπλοις Buecheler: εὐτραπέλοις $C^{b}D^{b}EGV$ Rom.: ἐντραπέλοις $C^{a}$: ἐντράπλοις Körte, Schroeder: ἐκτράπλοις Pearson  ὀπιθόμβροτον D: ὀπισθόμβροτον rell.  93 οἷον Rom.: οἶον vett.  94 φθινεῖ E. Schmid  96 παντᾷ G: πάντα E: παντᾶ CD Rom.  97 νιν Mommsen: μιν codd.  ὑπωρώφιοι C  κοινανίαν Schroeder: κοινωνίαν codd.  98 δέχονται codd., corr. Boeckh

# *ΡΥΤΗΙΑ ΙΙ*

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ ΑΡΜΑΤΙ

στρ. α΄ Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου
τέμενος Ἄρεος, ἀνδρῶν ἵππων τε σιδαροχαρ-
μᾶν δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων
μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων
τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
ποταμίας ἕδος Ἀρτέμιδος, ἇς οὐκ ἄτερ
κείνας ἀγαναῖσιν ἐν χερσὶ ποικιλανί-
ους ἐδάμασσε πώλους.

ἀντ. α΄ ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ
ὅ τ᾽ ἐναγώνιος Ἑρμᾶς αἰγλάεντα τίθησι κό-
σμον, ξεστὸν ὅταν δίφρον
ἔν θ᾽ ἅρματα πεισιχάλινα καταζευγνύῃ
σθένος ἵππιον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕμνον ἄποιν᾽ ἀρετᾶς.
κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις
φᾶμαι Κυπρίων, τὸν ὁ χρυσοχαῖτα προφρό-
νως ἐφίλησ᾽ Ἀπόλλων,

ἐπ. α΄ ἱερέα κτίλον Ἀφροδίτας· ἄγει δὲ χάρις
$17^{b}$ φίλων ποίνιμος ἀντὶ ἔργων ὀπιζομένα·
σὲ δ᾽, ὦ Δεινομένειε παῖ,

1–56 perierunt in B 1 συράκοσαι Rom. : συράκουσαι C : συράκοσσαι DEGV βαθυπτολέμου DG 2 ἵπων D σιδαροχαρμᾶν DG Rom. : σιδηροχαρμᾶν CEV 3 λιπαρῶν E 8 ἐδάμασε CE 9 χερὶ C : χειρὶ DEG Rom. 10 αἰγλάεντα Ven. 465 : αἰγλᾶντα vett. 11 θ᾽ ἅρματα E Rom. : τ᾽ ἅρματα $C^{ac}$DGV 12 ἵππειον codd., corr. Heyne 13 ἐτέλεσσεν V : ἐτέλεσεν CDEG 14 εὐαυχέα DG ἀρετῆς DG 16 φῆμαι D χρυσοχαίτας vett., corr. Mosch. $17^{b}$ ποίνιμος Spigel : ποῖ τινος V : ποί τινος rell. 18 δινομένειε E

18b Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει,
πολεμίων καμάτων ἐξ ἀμαχάνων
20 δια τεὰν δύναμιν δρακεῖσ᾽ ἀσφαλές.
θεῶν δ᾽ ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς
λέγειν ἐν πτερόεντι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς
ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι.

στρ. β′ ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
26 γλυκὺν ἑλὼν βίοτον, μακρὸν οὐχ ὑπέμεινεν ὄλ-
βον, μαινομέναις φρασὶν
Ἥρας ὅτ᾽ ἐράσσατο, τὰν Διὸς εὐναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀυάταν ὑπεράφανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ᾽ ἀνὴρ
30 ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ᾽ ἀμπλακίαι
φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι
ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέ-
χνας ἐπέμειξε θνατοῖς,

ἀντ. β′ ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπειρᾶτο. χρὴ δὲ κατ᾽ αὐτὸν αἰ-
εὶ παντὸς ὁρᾶν μέτρον.
35 εὐναὶ δὲ παράτροποι ἐς κακότατ᾽ ἀθρόαν
ἔβαλον ποτὶ κοῖτον ἱκόντ᾽, ἐπεὶ νεφέλᾳ παρελέξατο
ψεῦδος γλυκὺ μεθέπων ἄϊδρις ἀνήρ·

20 δρακοῦσ᾽ E 23 παντᾷ Z: παντᾶ rell. κυλινδούμενον E 24 ἀμοιβαῖσι D ἐπερχομένους V 25 ἔμαθε CE: ἔμαθεν DGV εὐμενέσι C 26 φρεσὶν E Rom. 27 ἐράσατο C Rom. 28 πολυγαθέες $CD^{ac}V$ Rom.: πολυγαθέος $D^{pc}EG^{ac}$ ἀάταν Beck ὑπεράφανον DEG: ὑπερφίαλον CV 29 ὦρσε DE 30 ἕλε Mosch.: ἔσχε vett.: ἔχε IM 31 ὅτι τ᾽ codd., corr. Hermann 32 ἐπέμιξε codd., corr. Schroeder 33 μελανοκευθέεσσιν Hecker 34 καθ᾽ αὐτὸν $C^{ac}$: καθ᾽ αὑτὸν rell.: corr. Thiersch 35 κακότητ᾽ CV 36 ποτὶ κοῖτον ἱκόντ᾽ Beck: ποτὶ καὶ τὸν ἵκοντ᾽ codd.: ποτε καὶ τὸν ἰδόντ᾽ A. Mommsen: ποτὶ κοῖτον ἰόντ᾽ Boeckh: ποτε καὶ τόν· ἑκὼν Fraccaroli νεφέλα C

εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιᾶν
θυγατέρι Κρόνου· ἅντε δόλον αὐτῷ θέσαν
Ζηνὸς παλάμαι, καλὸν πῆμα. τὸν δὲ τετρά-
κναμον ἔπραξε δεσμὸν

ἐπ. β΄ ἑὸν ὄλεθρον ὅγ'· ἐν δ' ἀφύκτοισι γυιοπέδαις
$41^{b}$ πεσὼν τὰν πολύκοινον ἀνδέξατ' ἀγγελίαν.
ἄνευ οἱ Χαρίτων τέκεν
$42^{b}$ γόνον ὑπερφίαλον
μόνα καὶ μόνον οὔτ' ἐν ἀν-
δράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις·
τὸν ὀνύμαξε τράφοισα Κένταυρον, ὃς
ἵπποισι Μαγνητίδεσσιν ἐμείγνυτ' ἐν Παλίου
σφυροῖς, ἐκ δ' ἐγένοντο στρατὸς
θαυμαστός, ἀμφοτέροις
ὁμοῖοι τοκεῦσι, τὰ μα-
τρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός.

στρ. γ΄ θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται,
θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασ-
σαῖον παραμείβεται
δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν,
ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'· ἐμὲ δὲ χρεὼν
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν ἀμαχανίᾳ
ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν
πιαινόμενον· τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πό-
τμου σοφίας ἄριστον.

38 οὐρανιᾶν DEGV : Οὐρανίδα e scholl. Mommsen : οὐρανίαν $C^{a}$ : οὐρανία Rom. 39 ἅντε E Rom. : τάν τε CV : ἅν ποτε D : ἅν ποτε G 41 ὅγ'] ὁ δ' E ἐν δ' CEV Rom. : ἐν DG γυιοπέδαισι CV $41^{b}$ ἀνδέξατ' Mosch. : ἀνεδέξατ' vett. : ἀνδείξατ' Mitscherlich 43 ἀνδράσι DEG Rom.: ἀνθρώποισι CV 44 ὀνύμαζε CE 46 ἐγένετο E 49 τέκμωρ $CV^{a}$ 50 καὶ ante πτερόεντ' om. D 51 τιν' Boeckh : τίν' CV Rom. : τινὰ DEG ἔκναμψε C 52 ἑτάροισι V παρέδωκε δ' ἐμὲ E : παρέδωκεν· ἐμὲ $C^{ac}$ 53 κακαγοριᾶν C : κακηγοριᾶν DEG : κακαγορίαν V Rom. 54 ἀμαχανίᾳ DG : ἀμηχανίᾳ CEV 55 βαρυλόγοις Rom. : βαρυλόγοισιν vett.

ἀντ. γ′ τὺ δὲ σάφα νιν ἔχεις ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυι-
ᾶν καὶ στρατοῦ. εἰ δέ τις
ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει
ἕτερόν τιν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,
χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.
εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ
κελαδέων. νεότατι μὲν ἀρήγει θράσος
δεινῶν πολέμων· ὅθεν φαμὶ καὶ σὲ τὰν ἀ-
πείρονα δόξαν εὑρεῖν,

ἐπ. γ′ τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον,
65b τὰ δ' ἐν πεζομάχαισι· βουλαὶ δὲ πρεσβύτεραι
ἀκίνδυνον ἐμοὶ ἔπος
66b ⟨σὲ⟩ ποτὶ πάντα λόγον
ἐπαινεῖν παρέχοντι. χαῖ-
ρε· τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·
τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς θέλων
ἄθρησον χάριν ἑπτακτύπου
φόρμιγγος ἀντόμενος.
γένοι' οἷος ἐσσὶ μαθών.
καλός τοι πίθων παρὰ παισίν, αἰεὶ

στρ. δ′ καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώμητον, οὐδ' ἀπάταισι θυ-
μὸν τέρπεται ἔνδοθεν,
οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ βροτῷ.
ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες,
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.

57 πεπορεῖν V[s] 59 ἤδη om. E κτεάτεσσι BDEG: κτεάνοισι CV 60 πάροιθεν DG 61 κενεά I: κενειᾶ D: κενεᾶ(ᾷ) rell. 65 ἐν om. E ἄνδρεσσι Hermann: ἀνδράσι codd. 65[b] πεζομάχοισι CV 66[b] σὲ suppl. Bergk 71 ἀντώμενος DG 72 γένοι' Tricl.: γένοι δ' B: γένοιο δ' rell. 74 ἀμωμήτων Jacobs 75 βροτῷ Heindorf: βροτῶν codd. 76 διαιβολιᾶν Bergk ὑποφάντιες E[1]: ὑποφάτορες Bothe: ὑποφαύτιες Boeckh

κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βυθοῖ
σκευᾶς ἑτέρας, ἀβάπτιστος εἶμι, φελλὸς
ὣς ὑπὲρ ἕρκος, ἅλμας.

ἀντ. δʹ ἀδύνατα δ᾽ ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
δόλιον ἀστόν· ὅμως μὰν σαίνων ποτὶ πάντας ἀ-
γὰν πάγχυ διαπλέκει.
οὔ οἱ μετέχω θράσεος. φίλον εἴη φιλεῖν·
ποτὶ δ᾽ ἐχθρὸν ἅτ᾽ ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι,
ἄλλ᾽ ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠπόταν ὁ λάβρος στρατός,
χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι. χρὴ δὲ
πρὸς θεὸν οὐκ ἐρίζειν,

ἐπ. δʹ ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ᾽ αὖθ᾽ ἑτέροις
ἔδωκεν μέγα κῦδος. ἀλλ᾽ οὐδὲ ταῦτα νόον
ἰαίνει φθονερῶν· στάθμας
δέ τινος ἑλκόμενοι
περισσᾶς ἐνέπαξαν ἕλ-
κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
φέρειν δ᾽ ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν
ἀρήγει· ποτὶ κέντρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος· ἁδόν-
τα δ᾽ εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

78 κερδοῖ Huschke : κέρδει codd. τοῦτο μάλα CV 79 ἐννάλιον Schroeder: ἐνάλιον vett.: εἰνάλιον recc. ὀχοίσας B : ὀχεοίσας Ahlwardt βυθοῖ Wilamowitz : βαθύ codd.: βαθὺν Bergk 80 εἶμι Schnitzer : εἰμι codd. ἕρκεος $C^{pc}V$: ἕλκεος $C^{ac}$ 81 ἀδύνατον δ᾽ $C^{1}D$ : ἀδύνατον E. Schmid 82 ἀγὰν amicus Boeckhii: ἄγαν codd. : ἄταν Heyne 85 πατέονθ᾽ Schadewaldt 87 λάβρος CEV : λαῦρος BDG 88 τηρέωντι DG : τήρεωντι V : τηρέοντι BCE 89 ἀνέχῃ DG ποτὲ D τὰ κείνων BC : τὰκείνων DEGV τότε δ᾽ vett., corr. Tricl. $89^{b}$ ἔδωκε B $90^{b}$ ἑλκόμενος $BC^{ac}V^{1}$ 91 ὀδυνηρὸν D πρόσθε BEG : πρόσθεν CDV 92 μηχανῶνται B : μητίωνται Thiersch 95 λακτισδέμεν CV

# *PYTHIA III*

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ ΚΕΛΗΤΙ

στρ. α′ Ἤθελον Χίρωνά κε Φιλυρίδαν,
εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας
κοινὸν εὔξασθαι ἔπος,
ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου, βάσ-
σαισί τ' ἄρχειν Παλίου φῆρ' ἀγρότερον
5 νόον ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ
τέκτονα νωδυνίας ἅμερον γυι-
αρκέος Ἀσκλαπιόν,
ἥροα παντοδαπᾶν ἀλκτῆρα νούσων.

ἀντ. α′ τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυί-
ᾳ, δαμεῖσα χρυσέοις
10 τόξοισιν ὑπ' Ἀρτέμιδος
εἰς Ἀΐδα δόμον ἐν θαλάμῳ κατέβα, τέ-
χναις Ἀπόλλωνος. χόλος δ' οὐκ ἀλίθιος
γίνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν
ἀμπλακίαισι φρενῶν, ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,
πρόσθεν ἀκερσεκόμᾳ μειχθεῖσα Φοίβῳ

ἐπ. α′ καὶ φέροισα σπέρμα θεοῦ καθαρόν·
16 οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,
οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες

1 χείρωνα codd., corr. Schroeder φιλυρίδαν D[ac] : φιλλυρίδαν rell. 4 εὐρυμέδοντος CE[s] βάσεσι C 5 νοῦν Tricl. θρέψε CDE 6 τέκτονα νωδυνίας I : τέκνον ἀνωδυνίας B : τέκτον' ἀνωδυνίας CDEG[b]V[b] γυαρκέος CV νωδυνιᾶν . . . γυιαρκέων Hermann fortasse recte ἀσκληπιόν E 7 ἥροα Schroeder : ἅρωα B : ἥρωα rell. παντοδαπῶν B ἀλεκτῆρα BE 8 φλεγύα DG : φλέγυια BCEV 9 πλὴν E τελέσσαι B : τελέσαι rell. εἰλειθυίᾳ C 11 εἰς ἀίδα Byz.: εἰς ἀίδαο vett. 12 ἀποφλαυρίξασα codd., corr. E. Schmid νιν CV : μιν BDEG 14 ἀκερσεκόμᾳ DEG : ἀκειρεκόμᾳ BCV 16 οὐδ' Ald. ἔμεινεν DG νυμφίαν I Mosch. : νυμφιδίαν vett. : νυμφικάν Bornemann 17 ἅλικες E

οἷα παρθένοι φιλέοισιν ἑταῖραι
ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι
ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.
ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,
μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.

στρ. β' ἔσχε τοι ταύταν μεγάλαν ἀάταν
καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόν-
τος γὰρ εὐνάσθη ξένου
λέκτροισιν ἀπ' Ἀρκαδίας.
οὐδ' ἔλαθε σκοπόν· ἐν δ' ἄρα μηλοδόκῳ Πυ-
θῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεὺς
Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών,
πάντα ἴσαντι νόῳ· ψευδέων δ' οὐχ
ἅπτεται, κλέπτει τέ νιν
οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.

ἀντ. β' καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα
ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμ-
ψεν κασιγνήταν μένει
θυίοισαν ἀμαιμακέτῳ
ἐς Λακέρειαν, ἐπεὶ παρὰ Βοιβιάδος κρη-
μνοῖσιν ᾤκει παρθένος· δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν, καὶ γειτόνων
πολλοὶ ἐπαῦρον, ἁμᾷ δ' ἔφθαρεν· πολ-
λὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.

18 φιλέουσιν E$G^b$V  20 ἥρατο V  24 τοιαύταν I : τοιαύτης $C^{ac}$  25 λῆμα BE : λῆμμα CD  27 μηλοδόκῳ B$C^{pc}$V : μηδοδόκῳ $C^{ac}D^b$E : μαδοδόκῳ $D^a$  ναοῦ] Δάλου Naber  28 γνώμα(ᾳ) CD  πεπιθών codd., corr. E. Schmid  29 μιν codd., corr. Boeckh  32 ξενίαν vett., corr. Byz.  33 θύοισαν codd., corr. W. Schulze  34 μοιβιάδος B  35 τρέψαις B : τρέψας rell.  36 ἁμᾶι Q : ἁμᾶ rell. : corr. Ald.  πολλάν γ' C  ἐν ὄρει vett., corr. Mosch.

ἐπ. β′ ἀλλ᾽ ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
σύγγονοι κούραν, σέλας δ᾽ ἀμφέδραμεν
λάβρον Ἁφαίστου, τότ᾽ ἔειπεν Ἀπόλλων· “Οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.”
ὣς φάτο· βάματι δ᾽ ἐν πρώτῳ κιχὼν παῖδ᾽ ἐκ νεκροῦ
ἅρπασε· καιομένα δ᾽ αὐτῷ διέφαινε πυρά.
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

στρ. γ′ τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλ-
κῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χει-
μῶνι, λύσαις ἄλλον ἀλλοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πίνοντας, ἢ γυί-
οις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς·

ἀντ. γ′ ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ
χρυσὸς ἐν χερσὶν φανεὶς
ἄνδρ᾽ ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα· χερσὶ δ᾽ ἄρα Κρονίων ῥί-
ψαις δι᾽ ἀμφοῖν ἀμπνοὰν στέρνων κάθελεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.

38 τείχει] τεύχει Hartmann 39 δ᾽ om. D 40 λαῦρον BE τότ᾽ ἔειπεν CV: τότε εἶπεν BDEG 41 ἁμὸν $C^{ac}$D: ἀμὸν $BC^{pc}$: ἐμὸν E ὀλέσθαι E. Schmid 43 πρώτῳ] τριτάτῳ Aristarchus: τρίτῳ Hartung 44 διέφανε $C^{b}$D: διέχαινε E. Schmid 45 μιν codd., corr. Mommsen 47 ὅσοι V 48 ξυνάοντες C 50 λύσας CV 52 περάπτων CE: περιάπτων BDGV: προσάπτων Hermann 55 καὶ κεῖνον Boeckh: κἀκεῖνον codd. 57 ἁλωκότα E. Schmid: ἑαλωκότα codd. ῥίψαις B: ῥίψας rell. δ᾽ ἀμφοῖν CE κάθελεν Mommsen: καθεῖλεν vett.: καθέλεν Mosch. 58 ἐνέσκηψεν B

χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μα-
στευέμεν θναταῖς φρασὶν
γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.

ἐπ. γ′ μή, φίλα ψυχά, βίον ἀθάνατον
σπεῦδε, τὰν δ᾿ ἔμπρακτον ἄντλει μαχανάν.
εἰ δὲ σώφρων ἄντρον ἔναι᾿ ἔτι Χίρων, καί τί οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν, ἰατῆρά τοί κέν νιν πίθον
καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τάμνων θάλασσαν
Ἀρέθοισαν ἐπὶ κράναν παρ᾿ Αἰτναῖον ξένον.

στρ. δ′ ὃς Συρακόσσαισι νέμει βασιλεύς,
πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξεί-
νοις δὲ θαυμαστὸς πατήρ.
τῷ μὲν διδύμας χάριτας
εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν κῶ-
μόν τ᾿ ἀέθλων Πυθίων αἴγλαν στεφάνοις,
τοὺς ἀριστεύων Φερένικος ἕλεν Κίρρᾳ ποτέ,
ἀστέρος οὐρανίου φαμὶ τηλαυ-
γέστερον κείνῳ φάος
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.

ἀντ. δ′ ἀλλ᾿ ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
Ματρί, τὰν κοῦραι παρ᾿ ἐμὸν πρόθυρον σὺν
Πανὶ μέλπονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι,

59 φρασὶν Boeckh : φρεσὶ(ν) codd. 60 γνόντας C 62 μηχανάν CV 63 ἔναιεν vett., corr. Mosch. χείρων codd., corr. Schroeder 64 ἐν Mosch., om. vett. 65 νιν Boeckh : μιν codd. 66 καί νυν E. Schmid : καὶ νῦν vett. : νῦν τε Tricl. 67 ἢ πατέρα ? Bergk 68 τάμνων Mommsen : τέμνων codd. 69 Ἀρέθοισαν Bergk : ἀρέθουσαν codd. 70 συρρακόσαισι D : συρρακούσαισι C 71 ξείνοις τὲ D 73 αἰγλοστεφάνων Hartung 76 πόρον CV περάσαις Rom. : περάσσαις B : περάσ(σ)ας codd. rell. 78 μέλποντι CV

εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρ-
θὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὦν οὐ δύνανται
νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

ἐπ. δ' τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄϊον Θήβαις, ὁπόθ' Ἁρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

στρ. ε' καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυ-
σέαις ἐν ἕδραις, ἕδνα τε
δέξαντο· Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔ-
στασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ
τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκ-
ωλένῳ γε Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

ἀντ. ε' τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τό-
ξοις ἀπὸ ψυχὰν λιπὼν

80 ἱερῶν Boehmer ἐπίστασαι μαθὼν Naber 81 δαίοντι Mommsen 85 τοι om. CEV 86 σ' ὁ μέγας Bergk 87 ἐγένετ' CEV 88 γε μὰν vett., corr. Byz. 98 γε om. D 99 ἦλθεν CV 100 ἀθάνατος E 101 λιπὼν] βαλὼν Hecker : δικὼν Herwerden

ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει θνα-
τῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων. ὄλβος οὐκ ἐς
μακρὸν ἀνδρῶν ἔρχεται
σῶς, πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.

ἐπ. ε΄ σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
ἔσσομαι. τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν
δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον Σαρπαδόν', ἀνθρώπων φάτις,
ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν, γινώσκομεν· ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει· παύροις δὲ πράξασθ' εὐμαρές.

102 ἐν πυρὶ BDEG 104 πνοιαὶ CV 105 ὑψιπετῶν BD ὄλβος δ' vett., corr. Tricl. 106 σῶς Emperius : ὃς codd. : σάος Schroeder : τέως Shackle ἐπιβρίσας codd., corr. Boeckh 109 μηχανάν C 110 πλοῦτον] πότμον Hartung 111 κεν] καὶ $C^{a}$V 112 Λυκίων Hecker σαρπηδόν' codd., corr. Ahrens φάτις] φρασὶν Hartung : φάτιν Hecker 114 ἅρμοσαν· γινωσκομένα δ' ἀρετὰ codd., corr. e scholl. E. Schmid

# *PYTHIA IV*

## ΑΡΚΕΣΙΛΑΩΙ ΚΥΡΗΝΑΙΩΙ ΑΡΜΑΤΙ

στρ. α' Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
στᾶμεν, εὐίππου βασιλῆϊ Κυράνας,
ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοΐδαισιν ὀφειλόμενον Πυ-
θῶνί τ' αὔξῃς οὖρον ὕμνων,
ἔνθα ποτὲ χρυσέων Διὸς αἰετῶν πάρεδρος
οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα
χρῆσεν οἰκιστῆρα Βάττον
καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐάρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ,

ἀντ. α' καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θή-
ραιον, Αἰήτα τό ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέ-
σποινα Κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
"Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλά-
κτου ποτὲ γᾶς Ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

ἐπ. α' ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵπ-
πους ἀμείψαντες θοάς,

1 σε om. E 2 στᾶμεν CE : στάμεν GV : στάμεν' BD 3 αὔξαις C 4 ἀετῶν D 5 ἀπὸ δάμου D ἱερέα D[1] 7 κτίσσειεν EG : κτίσειεν BCV : κτήσειεν D 8 ἀργάεντι Hermann : ἀργεννόεντι Schroeder 9 ἀγκομίσαι B[1] : ἀγκομίσαιθ' BDEGV : ἐγκομίσαιθ' C 14 ἁλιπλάκτου BG : ἁλιπλάτου D : ἁλιπλάγκτου EV : ἁλιπλέγκτου C 15 μελισίμβροτον V : μελησόμβροτον C 16 ἐν om. DG ἄμμονος V

ἀνία τ' ἀντ' ἐρετμῶν δί-
φρους τε νωμάσοισιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων
ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε
Τριτωνίδος ἐν προχοαῖς
λίμνας θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι
ξείνια πρῴραθεν Εὔφαμος καταβὰς
δέξατ'· αἰσίαν δ' ἐπί οἱ Κρονίων
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·

στρ. β' ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν
ναΐ κριμνάντων ἐπέτοσσε, θοᾶς Ἀρ-
γοῦς χαλινόν. δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώ-
των ὕπερ γαίας ἐρήμων
ἐνννάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.
τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν
θηκάμενος· φιλίων δ' ἐπέων
ἄρχετο, ξείνοις ἅ τ' ἐλθόντεσσιν εὐεργέται
δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἀντ. β' ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος Γαι-
αόχου παῖς ἀφθίτου Ἐννοσίδα
ἔμμεναι· γίνωσκε δ' ἐπειγομένους· ἂν δ'
εὐθὺς ἁρπάξαις ἀρούρας

18 νωμάσοισιν BDG : νωμάσουσιν E : νωμάσσοισιν CV$^{ac}$  19 μεγάλων C  20 μητρόπολιν CV  22 πρώραθεν codd., corr. Bergk  εὔφαμος B : εὔφημος rell.  23 δέξαιτ' D  αἰσίαν Schroeder : αἴσιον codd.  24 ἄγγυραν D$^{ac}$E  25 κριμνάντων BG$^{pc}$ : κριμάντων G$^{a}$ : κρημνάντων rell.  ἐπέτοσε C : ἔποσσε B$^{a}$ : ἔτοσσε E  26 ὕπερ V : ὑπὲρ rell.  ἐρήμου E  27 ἐννάλιον Schroeder : ἐνάλιον vett. : εἰνάλιον Mosch.  μήδεσιν C : μήδεσσιν BDEGV  ἀνσπάσσαντες Mingarelli : ἀνσπάσαντες BCGV : ἀνασπάσαντες DE  ἁμοῖς Mosch. : ἀμοῖς vett.  28 ἐπῆλθεν D : ἐπῆλθε rell.  29 πρόσωψιν C  30 ἄρχετο B : ἄρχεται CDEGV  ξείνοις B : ξένοις CDEGV  31 δεῖπνον D  33 κώλυεν Mosch. : κώλυε vett.  34 γίνωσκε CEV : γίγνωσκε BDG  ἁρπάξαις B : ἁρπάξας rell.

35 δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
οὐδ' ἀπίθησέ ἱν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορών,
χειρί οἱ χεῖρ' ἀντερείσαις
δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ

ἐπ. β' ἑσπέρας ὑγρῷ πελάγει σπομέναν. ἦ
μάν νιν ὤτρυνον θαμὰ
41 λυσιπόνοις θεραπόντεσ-
σιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴ-
κοι νιν βάλε πὰρ χθόνιον
Ἅιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
45 υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ
τίκτε Καφισοῦ παρ' ὄχθαις,

στρ. γ' τετράτων παίδων κ' ἐπιγινομένων
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐ-
ρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
ἐξανίστανται Λακεδαίμονος Ἀργεί-
ου τε κόλπου καὶ Μυκανᾶν.
50 νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες τέκωνται
φῶτα κελαινεφέων πεδίων

35 προτυχὸν B$^{s}$C$^{pc}$DEGV : προτυχὼν B$^{1}$C$^{ac}$ ξείνιον codd., corr. Tricl. μάστευε Danielsson 36 ἱν Boeckh : νιν codd. 37 ἀντερείσαις B: ἀντερείσας rell. 39 ἐναλίαν Thiersch: ἐναλίᾳ codd.: ἐναλίου J. F. Meyer 40 σπωμέναν C νιν BDEG : μιν CV ὤτρυνον DE$^{pc}$G : ὄτρυνον BCE$^{ac}$V 41 λυσιπόνοισι CV : λησιπόνοις Thiersch θεραπόντεσσι vett., corr. Byz. 42 καί νυν Tricl. : καὶ νῦν vett. ἀφθίτῳ D 43 εὐρυχόρου BGV$^{ac}$ : εὐρυχώρου CDEV$^{pc}$ μιν C 45 ποσειδάονος B 46 τίκτε CV : τίκτει BDEG 47 τετάρτων E ἐπιγεινομένων codd., corr. Schroeder 49 μηκυνᾶν CD : μυκηνᾶν rell. : corr. Schroeder 50 νῦν γε μὲν recc. : νῦν γε μὰν vett. 51 λέχεσιν recc. : λέχεσι BDE : λεχέσσῖ V : λεχέεσσι C 52 κελαινεφίων E

δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ᾽ ἐν δώματι
Φοῖβος ἀμνάσει θέμισσιν

ἀντ. γ΄ Πύθιον ναὸν καταβάντα χρόνῳ
ὑστέρῳ, νάεσσι πόλις ἀγαγὲν Νεί-
λοιο πρὸς πῖον τέμενος Κρονίδα."
ἦ ῥα Μηδείας ἐπέων στίχες, ἔπτα-
ξαν δ᾽ ἀκίνητοι σιωπᾷ
ἥροες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.
ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ᾽ ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσεν μελίσσας
Δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πεπρωμένον
βασιλέ᾽ ἄμφανεν Κυράνᾳ,

ἐπ. γ΄ δυσθρόου φωνᾶς ἀνακρινόμενον ποι-
νὰ τίς ἔσται πρὸς θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ νῦν,
ὥτε φοινικανθέμου ἦρος ἀκμᾷ,
παισὶ τούτοι᾽ ὄγδοον θάλλει μέρος Ἀρκεσίλας·
τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ
ἀμφικτιόνων ἔπορεν
ἱπποδρομίας. ἀπὸ δ᾽ αὐτὸν ἐγὼ Μοίσαισι δώσω
καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-
ποί σφισιν τιμαὶ φύτευθεν.

54 ἀμνάσει CV : ἀμμνάσει BD θέμισσιν $C^{a}$GV : θέμισσι B$C^{b}$E : θέμισιν D 55 χρόνω δ᾽ vett., corr. E. Schmid 56 ὕστερον $E^{a}$ : δευτέρῳ M. Schmidt πόλις Lehrs : πολεῖς codd. ἀγαγὲν $E^{pc}$P : ἀγαγεῖν C$V^{b}$ : ἄγαγε BD : ἄγαγεν $E^{ac}$ 57 Μηδεία ἐπέων στίχας Farnell 58 ἥροες Schroeder : ἥρωες codd. πυκνὰν E 60 ὤρθωσεν $G^{pc}$ : ὤρθωσε rell. 61 ἐστρὶς $B^{1}$, Boeckh : εἰς τρὶς codd. αὐδάσαισα Boeckh : αὐδάσαισαι B : αὐδάσασα rell. 62 κυράνας B 63 δυσαθρόου $C^{a}$ : δυσερόου $B^{a}$ 64 ὧτε Bergk : ὥστε B : om. CDEGV ἐν ἀκμᾷ BDG 65 παισὶ τούτοι᾽ Christ : παισὶ τούτοις codd. : τοῖο παισὶν Hermann : παισὶν οὕτως Emperius μέλος $C^{b}$ 66 ἀμφικτιόνων Boeckh : ἀμπφικτυόνων codd. 69 σφισιν recc. : σφισι vett.

στρ. δ' τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας,
τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος
δῆσεν ἅλοις; θέσφατον ἦν Πελίαν
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χεί-
ρεσσιν ἢ βουλαῖς ἀκάμπτοις.
ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ,
πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·
τὸν μονοκρήπιδα πάντως
ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐδείελον
χθόνα μόλῃ κλειτᾶς Ἰαολκοῦ,

ἀντ. δ' ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἦρα χρόνῳ
ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκ-
παγλος· ἐσθὰς δ' ἀμφοτέρα νιν ἔχεν,
ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμό-
ζοισα θαητοῖσι γυίοις,
ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·
οὐδὲ κομᾶν πλόκαμοι καρθέντες ᾤχοντ' ἀγλαοί,
ἀλλ' ἅπαν νῶτον καταίθυσ-
σον. τάχα δ' εὐθὺς ἰὼν σφετέρας
ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

ἐπ. δ' τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμ-
πας τις εἶπεν καὶ τόδε·
"Οὔ τί που οὗτος Ἀπόλλων,
οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ

70 ἀρχὰ δέξατο E[1]: ἀρχὴ δέξατο B[pc]: ἄρχ' ἐδέξατο rell. ναυτιλλίας C 71 ἄλλοις D 72 ἀκάμπτοις Hermann: ἀκνάμπτοις BDEGV: ἀκάμποις C 77 ἰωλκοῦ codd., corr. Schroeder 78 αἴτ' V: εἴτ' C[b] ὢν BE ἦρα Schroeder: ἄρα codd.: ἆρα Boeckh 79 ἀμφοτέρα E: ἀμφότερον rell. νιν Boeckh: μιν codd. 80 γύοις E 81 παρδαλέᾳ Wakefield: παρδαλέα codd. 82 καρθέντες C[s]: κερθέντες rell. ᾤχοντ' Boeckh: οἴχοντ' codd. 84 ἀταρβύκτοιο E[1] 86 οὐκ ἐγίνωσκον B: οὐ γίγνωσκον DG ἔμπας] εἶδος Hartung εἶπε καὶ vett., corr. Tricl.: εἴπεσκεν ? Heyne 87 οὔ τοι C

Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολ-
μάεις Ἐπιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,
ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
των ἐπιψαύειν ἔραται."

στρ. ε′ τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξε-
στᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτά-
ναις ἀρίγνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσήνεπε· "Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώ-
πων σε χαμαιγενέων πολιᾶς
ἐξάνηκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
καταμιάναις εἰπὲ γένναν."

ἀντ. ε′ τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ' ἀμείφθη· "Φαμὶ διδασκαλίαν Χί-
ρωνος οἴσειν. ἀντρόθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύ-
ρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ἔργον
οὔτ' ἔπος ἐκτράπελον κείνοισιν εἰπὼν ἱκόμαν
οἴκαδ', ἀρχαίαν κομίζων
πατρὸς ἐμοῦ, βασιλευομέναν

89 Ἐπιάλτα Ceporinus e scholl. Harl. *Od.* λ 309 : ἐφίαλτ(α) vett. 90 κραιπνόν] τερπνόν C 92 τῶν CEV 95 παπτήνας codd. (-ήνας B), corr. Boeckh 97 προσένεπε B ξέν' vett., corr. Byz. 98 πολιᾶς] σκοτιᾶς Hartung : ποτνίας Jurenka : ποδαπᾶς Sitzler 99 ἐχθίστοις σε Mingarelli : αἰσχίστοισι Hecker 100 καταμιάναις CV : καταμιάνας BDEG 101 θαρσήσαις B : θαρσήσας CV : θαρρήσας DEG 102 χείρωνος codd., corr. Schroeder 104 ἐκτελέσαις BG : ἐκτελέσας CDEV 105 ἐκτράπελον e scholl. Heyne : ἐντράπελον vett. : εὐτράπελον M ξείνοισιν Wilamowitz 106 ἀρχὰν ἀγκομίζων Chaeris : ἀρχαίαν κομίξων Hecker : ἀρχαίαν καινίζων B

οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ τιμάν.

ἐπ. ε΄ πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευ-
καῖς πιθήσαντα φρασὶν
ἁμετέρων ἀποσυλᾶ-
σαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
ἁγεμόνος δείσαντες ὕβριν, κᾶδος ὡσ-
είτε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι, μίγα κωκυτῷ γυναικῶν
κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ
δὲ τράφεν Χίρωνι δῶκαν.

στρ. ϝ΄ ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων, κε-
δνοὶ πολῖται, φράσσατέ μοι σαφέως·
Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξεί-
ναν ἱκάνω γαῖαν ἄλλων.
φὴρ δέ με θεῖος Ἰάσονα κικλῄσκων προσαύδα."
ὣς φάτο· τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός·
ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν
δάκρυα γηραλέων γλεφάρων,
ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν, ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

ἀντ. ϝ΄ καὶ κασίγνητοί σφισιν ἀμφότεροι
ἤλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς
μὲν Φέρης κράναν Ὑπερῇδα λιπών,

109 μιν BDEG φρεσὶν B 110 ἁμετέραν . . . ἀρχεδίκαν v. l. scholl. 113 δώματι E[ac] μίγα] μέσα C[ac]: μέγα E[ac]: μετὰ B 115 χείρωνι codd., corr. Schroeder 118 ἱκάνω Madvig: ἱκόμαν codd.: ἱκοίμαν Hermann: ἱκάνων Lehrs 119 κικλήσκων codd., corr. Schroeder προσηύδα codd. (-ηῦδα E), corr. Ahrens 120 εἰσελθόντ' vett., corr. Byz. ἔγνον I: ἔγνων vett. 124 σφισιν B: σφιν rell. 125 ὑπερηίδα codd., corr. Hermann

ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ' Ἄ-
δματος ἷκεν καὶ Μέλαμπος
εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,
ξείνι' ἁρμόζοντα τεύχων
πᾶσαν ἐϋφροσύναν τάνυεν
ἀθρόαις, πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις
ἱερὸν εὐζοίας ἄωτον.

ἐπ. ϝ' ἀλλ' ἐν ἕκτᾳ πάντα λόγον θέμενος σπου-
δαῖον ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοινᾶθ'·
οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι· καί ῥ' ἦλθον Πελία μέγαρον·
ἐσσύμενοι δ' εἴσω κατέσταν· τῶν δ' ἀκού-
σαις αὐτὸς ὑπαντίασεν
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ' Ἰάσων
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων·
"Παῖ Ποσειδᾶνος Πετραίου,

στρ. ζ' ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον τρα-
χεῖαν ἑρπόντων πρὸς ἐπίβδαν ὅμως·
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀρ-
γὰς ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ἐρέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς

126 ἀμυνθάν B ἧκεν B 127 εὐμενέοντος V ἀνεψιοί Hartung μοῖραν Herwerden 129 τεύξων C πᾶσαν B : πᾶσαν εἰς C : πᾶσαν ἐς DEGV 131 εὐζοίας Schroeder: εὖ ζωᾶς codd.: εὐσοίας Bergk 133 πᾶσι κοινᾶθ' BV 134 ἦλθεν V: ἦλθε C 135 ἔσω vett., corr. Byz. τῶν δ' CDEGV : τῶν B ἀκούσαις B : ἀκούσας rell. 136 ἐρατοπλοκάμου Herwerden 138 ποσειδῶνος B : ποσιδᾶνος E 141 ὀργὰς] ὀρθὰν Hecker

ἄμμες αὖ κείνων φυτευθέν-
τες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει
ὁμογόνοις αἰδῶ καλύψαι.

ἀντ. ζ' οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν
οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τι-
μὰν δάσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀ-
γρούς τε πάντας, τοὺς ἀπούρας
ἁμετέρων τοκέων νέμεαι πλοῦτον πιαίνων·
κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν·
ἀλλὰ καὶ σκᾶπτον μόναρχον
καὶ θρόνος, ᾧ ποτε Κρηθεΐδας
ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας—
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

ἐπ. ζ' λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐ-
τῶν ἀναστάσῃς κακόν."
ὣς ἄρ' ἔειπεν, ἀκᾷ δ' ἀντ-
αγόρευσεν καὶ Πελίας· "Ἔσομαι
τοῖος· ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας
ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι κυ-
μαίνει· δύνασαι δ' ἀφελεῖν
μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι
Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,
τῷ ποτ' ἐκ πόντου σαώθη

144 ἄμμες B$^{s}$ : ἀμὲς rell. 145 λεύσομεν BCE ἀφίσταντ' B : ἀμφίσταντ' CDEG : ἀφίσταιντ' V Chaeris 147 χαλκοτόροισι C$^{1}$DGV : χαλκοτέροισι BCE : corr. Rom. 148 μεγάλων C$^{a}$ 149 τοὺς CV : οὓς BDEG ἀπούραις Boeckh 150 νέμεαι] νέμεν C$^{ac}$V : νύμες B 151 πορσαίνοντ' Hartung 153 ἱππότας B$^{s}$ λαοῖσι vett., corr. Byz. 155 ἄμμι vett., corr. Byz. ἐξ ἀστῶν ? Bergk : ἐξαυτῆς Danielsson ἀναστάσῃς Turyn, Mair : ἀναστήσῃς B$^{ac}$CDGV : ἀναστήσας E : ἀναστήσῃ B$^{pc}$ 156 ἔσομαι I Mosch. : ἔσσομαι vett. 157 τοῖος Byz. : τοιοῦτος vett. 160 ἐλθόντα H. Stephanus 161 βαθύμαλον BD

στρ. η′ ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φω-
νεῖ. μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ
εἰ μετάλλατόν τι· καὶ ὡς τάχος ὀτρύ-
νει με τεύχειν ναῒ πομπάν.
τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμιν μάρτυς ἔστω
Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις."
σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν·
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη

ἀντ. η′ ὤρνυεν κάρυκας ἐόντα πλόον
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο
Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
ἦλθον Ἀλκμάνας θ' ἑλικογλεφάρου Λή-
δας τε, δοιοὶ δ' ὑψιχαῖται
ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου· τῶν μὲν κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη
σόν τε, Περικλύμεν' εὐρυβία.
ἐξ Ἀπόλλωνος δὲ φορμιγκτὰς ἀοιδᾶν πατὴρ
ἔμολεν, εὐαίνητος Ὀρφεύς.

ἐπ. η′ πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱ-
οὺς ἐπ' ἄτρυτον πόνον,
τὸν μὲν Ἐχίονα, κεχλά-
δοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέες

162 ἐκ τῶν B βελῶν E: βουλέων D 164 μεταλλακτόν ? Bergk: καταλλακτόν Herwerden με] σε B 165 τέλεσον I Mosch.: τέλεσσον vett. vulg. 167 ἄμμι vett., corr. Mosch. 169 ἀτὰρ DEG: αὐτὰρ BCV 170 ὄρνυεν codd., corr. Boeckh 171 παντᾷ G: παντᾶ rell. 172 ἀλκμάνας BD: ἀλκμήνας rell. ἑλικοβλεφάρου codd., corr. Schroeder 173 ἀλδήσκοντες M. Schmidt: αἴν' ἐσθέντες Jurenka 176 φορμιγκτὰς CV: φορμικτὰς BDEG 178 χρυσόρραπις vett., corr. Byz. 179 κεχλαδότας D εὔρυτον codd., corr. E. Schmid ταχέες δ' BCDE$^{ac}$G, corr. Mommsen: ταχέως δ' V

ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·
καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔν-
τυνεν βασιλεὺς ἀνέμων
Ζάταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
σιν πόθον ἔνδαιεν Ἥρα

στρ. θ' ναὸς Ἀργοῦς, μή τινα λειπόμενον
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰ-
ῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον· ἑᾶς ἀρετᾶς ἅ-
λιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δ' Ἰαολκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά οἱ
μάντις ὀρνίχεσσι καὶ κλά-
ροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν πρόφρων· ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

ἀντ. θ' χρυσέαν χείρεσσι λαβὼν φιάλαν
ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγ-
χεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμους τ' ἐκάλει νύ-
κτας τε καὶ πόντου κελεύθους
ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·
ἐκ νεφέων δέ οἱ ἀντάϋσε βροντᾶς αἴσιον
φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖ-
νες στεροπᾶς ἀπορηγνύμεναι.

180 θεμέθλοις Boeckh: θέμεθλα $B^b$CEV, om. $B^a$DG  181 ἔντυνε CV: ἔντυε(ν) $BC^b$DEG  182 ζῆταν codd., corr. Schroeder  183 πεφρικότας D  184 παμπληθῆ DE  πόθον γ' Mosch.  πρόσδαιεν Boeckh  186 μ̅ρ̅ι B: μητ(έ)ρὶ CDV: ματέρι E  188 ἰωλκὸν vett., corr. Schroeder  κατέβαν DE ναυτῶν CV  189 ἐπαινήσαις B: ἐπαινήσας rell.  190 θεοπρεπέων B  197 ἀντάνυσε $C^{ac}$  198 ἀπορρηγνύμεναι BCE

ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ σάμασιν
πιθόμενοι· κάρυξε δ' αὐτοῖς

ἐπ. θ' ἐμβαλεῖν κώπαισι τερασκόπος ἁδεί-
as ἐνίπτων ἐλπίδας·
εἰρεσία δ' ὑπεχώρη-
σεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι
ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἕσ-
σαντ' ἐνναλίου τέμενος,
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὕπαρχεν
καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι
δεσπόταν λίσσοντο ναῶν,

στρ. ι' συνδρόμων κινηθμὸν ἀμαιμάκετον
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζω-
αί, κυλινδέσκοντό τε κραιπνότεραι
ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤ-
δη τελευτὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἤλυθον, ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
μεῖξαν Αἰήτᾳ παρ' αὐτῷ.
πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴϋγγα τετράκναμον Οὐλυμπόθεν
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ

ἀντ. ι' μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς
ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·

199 ἄμπλοον Coraes  200 πειθόμενοι vett., corr. Byz.  202 τραχειᾶν CV  ἄκορος] ἄκοπον Hartmann  203 εὐξείνου CD  204 ποσειδᾶνος B  ἐναλίου vett., corr. Schroeder  205 ὑπῆρχε C  206 λίθων] λίθινον vett., corr. Tricl.  209 δίδυμαι DEG: δίδυμοι BCV  211–12 ἔπειτ' ἀνήλυθον B: ἔπειτ' ἐνήλυθον CV: ἔπειτ' ἐν ἤλυθον E  213 μίξαν codd., corr. Schroeder  παρ' αὐτῷ] τ' ἀγαυρῷ M. Schmidt: τ' ἀγαυῷ Herwerden  ὠκυτάτων BDEG  214 ὀλυμπόθεν vett., corr. Mosch.  215 ζεύξαισα B: ζεύξασα rell.  217 ἐκδιδάσκησε(ν) DG: ἐδιδάσκησε B: ἐκδιδάσκοισα E: διδάσκησε CV

ὄφρα Μηδείας τοκέων ἀφέλοιτ᾽ αἰ-
δῶ, ποθεινὰ δ᾽ Ἑλλὰς αὐτὰν
ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ᾽ ἀέθλων δείκνυεν πατρωΐων·
σὺν δ᾽ ἐλαίῳ φαρμακώσαισ᾽
ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μεῖξαι.

ἐπ. ι΄ ἀλλ᾽ ὅτ᾽ Αἰήτας ἀδαμάντινον ἐν μέσ-
σοις ἄροτρον σκίμψατο
καὶ βόας, οἳ φλόγ᾽ ἀπὸ ξαν-
θᾶν γνάθων πνέον καιομένοιο πυρός,
χαλκέαις δ᾽ ὁπλαῖς ἀράσσεσκον χθόν᾽ ἀμειβόμενοι·
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρ-
θὰς δ᾽ αὔλακας ἐντανύσαις
ἤλαυν᾽, ἀνὰ βωλακίας δ᾽ ὀρόγυιαν σχίζε νῶτον
γᾶς. ἔειπεν δ᾽ ὧδε· "Τοῦτ᾽ ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις
ἄφθιτον στρωμνὰν ἀγέσθω,

στρ. ια΄ κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ."
ὣς ἄρ᾽ αὐδάσαντος ἀπὸ κροκόεν ῥί-
ψαις Ἰάσων εἷμα θεῷ πίσυνος
εἴχετ᾽ ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμ-
φαρμάκου ξείνας ἐφετμαῖς,
σπασσάμενος δ᾽ ἄροτρον, βοέους δήσαις ἀνάγκᾳ
ἔντεσιν αὐχένας ἐμβάλλων τ᾽ ἐριπλεύρῳ φυᾷ

220 πατρώων vett., corr. Byz. 221 φαρμακώσαισ᾽ B: φαρμακώσασ᾽ rell. 223 ἐν om. C μεῖξαι Schroeder: μίξαι CV: μίξειν BDEG: μείξειν Turyn 225 γνάθων Boeckh: γενύων codd.: γενῦν W. Dindorf 228 ἀνὰ βωλακίας P: ἀνὰ βωλακίαις E: ἀναβωλακίας rell. ὀρόγυιαν Hermann: ὄργυιαν codd. 230 τελέσσαις BCV 232 κροκόεν B: κρόκεον rell. ῥίψας DEGV[pc] 233 ἐόλει Boeckh: αἰόλλει codd.: αἰόλει Mommsen 234 σπασάμενος vett., corr. I βοέοις DEG δήσᾳς G: δήσας DE: δῆσεν BCV: corr. Heyne ἀνάγκᾳ e scholl. Hermann: ἀνάγκαις P: ἐν ἀνάγκαις E[pc]: ἀνάγκας rell. vett. (ἐν ἀν- E[ac])

κέντρον αἰανὲς βιατὰς
ἐξεπόνησ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει
δύνασιν Αἰήτας ἀγασθείς.

ἀντ. ιαʹ πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποί-
ας ἔρεπτον, μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυ-
μαστὸς υἱὸς δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·
ἔλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ'
εἴχετο λαβροταταν γενύων,
ὃς πάχει μάκει τε πεντηκόντερον ναῦν κράτει,
τέλεσαν ἂν πλαγαὶ σιδάρου.

ἐπ. ιαʹ μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα
γὰρ συνάπτει· καί τινα
οἶμον ἴσαμι βραχύν· πολ-
λοῖσι δ' ἅγημαι σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,
ὠρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐ-
τᾷ, τὰν Πελίαο φονόν·
ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ
Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντο ἶν' ἐσθᾶτος ἀμφίς,

238 δύναμιν E 239 ἕταροι vett., corr. Mosch. 240 μιν codd., corr. Mommsen ἔρεπτον] ἔριπτον Pauw : ἔρεψαν ? Boeckh 243 ἤλπετο codd., corr. Schroeder 244 λείχετο λαβροτάταιν γενύοιν ? Bergk : εἴχετο λαβροτάταις γέννυσιν ? Christ λαβροταταν Hermann : λαβροτάταν BCEV : λαβροτάτων D (-τατῶν G) 245 πεντηκόντερον DEGV : πεντηκόντορον rell. 246 πληγαὶ BV 250 σὺν αὐτᾷ] σύνευνον Fennell φονόν Wackernagel : φόνον codd. 251 περάτεσσι Hecker 253 ἶν' Kayser : κρίσιν codd. : κρῖμ' Hermann

στρ. ιβ' καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀ-
κτῖνος ὄλβου δέξατο μοιρίδιον
ἆμαρ ἢ νύκτες· τόθι γὰρ γένος Εὐφά-
μου φυτευθὲν λοιπὸν αἰεὶ
τέλλετο· καὶ Λακεδαιμονίων μειχθέντες ἀνδρῶν
ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον· ἔνθεν δ' ὔμμι Λατοί-
δας ἔπορεν Λιβύας πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλλειν, ἄστυ χρυσοθρόνου
διανέμειν θεῖον Κυράνας

ἀντ. ιβ' ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν· εἰ
γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψειεν μεγάλας δρυός, αἰσχύ-
νοι δέ οἱ θαητὸν εἶδος,
καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον,
ἢ σὺν ὀρθαῖς κιόνεσσιν
δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσαισα χῶρον.

ἐπ. ιβ' ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παι-
άν τέ τοι τιμᾷ φάος.
271 χρὴ μαλακὰν χέρα προσβάλ-
λοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.

255 σπέρμ' ἀρούραις Hermann : περ ἀρούραισι codd. ἀκτῖνος Hermann : ἀκτῖνας codd. ὄλβον C : ὄλβῳ DG 256 νυκτὸς DEG 258 ἤθεσι τάν Boeckh : ἤθεσιν. ἄν codd. : ἤθεσιν ἐν Chaeris 259 ἔνθα E 263 ὀξυτόμῳ CV : ὀξυτάτῳ BDEG 264 ἐξερείψαι κε codd., corr. Thiersch αἰσχύνοι Mosch. : αἰσχύνη (ῃ) codd. 268 ἀμφέπῃ Heyne : ἀμφέπει codd. δύστηνον E 269 ἐρημώσαισα B : ἐρημώσασα G : ἐρημώσασα rell. 270 τοι Wilamowitz : σοι codd. 271 χεῖρα vett., corr. Mosch. βάλλοντα CV τρώμαν] τραῦμα C

ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυσπαλὲς
δὴ γίνεται, ἐξαπίνας
εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.
τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν.

στρ. ιγ' τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος
ῥῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα τι-
μὰν μεγίσταν πράγματι παντὶ φέρειν·
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρ-
θᾶς. ἐπέγνω μὲν Κυράνα
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρ-
σαις ἑκατονταετεῖ βιοτᾷ,
ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

ἀντ. ιγ' οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ και-
ρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν· θεράπων δέ οἱ, οὐ δρά-
στας ὀπαδεῖ. φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον, καλὰ γινώσκοντ' ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴ-
ας ἀπὸ γᾶς ἀπό τε κτεάνων·
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ
μεταβολαὶ λήξαντος οὔρου

272 φαυροτέροις CV 273 αὖθις CV ἐξαπίνας] ἐξοπίσῳ ? Bergk : ἐξ ἀνίας ? Christ 278 πόρσαιν' Hartung 280 βάττου μέγαρον vett., corr. Mosch. 281 Δαμόφιλον Beck 282 ἐγκύρσαις BCV : ἐγκύρσας DEG 285 ἐξερίζων C 288 ἀνιαρώτατον C γιγνώσκοντ' B 291 ἀφθίτους ? Bergk

ἐπ. ιγʹ ἱστίων. ἀλλ᾽ εὔχεται οὐλομέναν νοῦ-
σον διαντλήσαις ποτὲ
οἶκον ἰδεῖν, ἐπ᾽ Ἀπόλλω-
νός τε κράνᾳ συμποσίας ἐφέπων
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς
δαιδαλέαν φόρμιγγα βαστάζων πολί-
ταις ἡσυχίᾳ θιγέμεν,
μήτ᾽ ὦν τινι πῆμα πορών, ἀπαθὴς δ᾽ αὐτὸς πρὸς ἀστῶν·
καί κε μυθήσαιθ᾽, ὁποίαν, Ἀρκεσίλα,
εὗρε παγὰν ἀμβροσίων ἐπέων,
πρόσφατον Θήβᾳ ξενωθείς.

293 διαντλήσαις B : διαντλήσας rell. 294 κυράνᾳ DG 295 ἐκδίδοσθαι E 296 ἁσυχίᾳ Heyne 298 μυθήσαιτο ποίαν BDEG ἀρκεσίλαε E : Ἀρκεσίλᾳ Stephanus

# *PYTHIA V*

## ΑΡΚΕΣΙΛΑΩΙ ΚΥΡΗΝΑΙΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Ὁ πλοῦτος εὐρυσθενής,
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ
πολύφιλον ἑπέταν.
ὦ θεόμορ᾽ Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσεαι
ἕκατι χρυσαρμάτου Κάστορος·
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν
καταιθύσσει μάκαιραν ἑστίαν.

ἀντ. α′ σοφοὶ δέ τοι κάλλιον
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ᾽ ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
τὸ μέν, ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων,
ἔχει συγγενὴς
ὀφθαλμὸς αἰδοιότατον γέρας
τεᾷ τοῦτο μειγνύμενον φρενί·
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι
εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν
δέδεξαι τόνδε κῶμον ἀνέρων,

ἐπ. α′ Ἀπολλώνιον ἄθυρμα· τῷ σε μὴ λαθέτω
Κυράνας γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδόμενον,

4 ἑπέτην C 5 θεόμορ᾽ E. Schmid : θεόμοιρ᾽ codd. 6 νυν C[ac]E : νῦν Boeckh 8 μετανίσσεαι C[pc]V 10 εὐδιανὸς Schneider ἑὰν C : ἐὰν V 12 δέ τοι Mosch. : δέ τι CV : δ᾽ ἔτι BDEG 14 ἐρχόμενος Drachmann 17 συγγενὴς δ᾽ Ceporinus : συγγενὲς Heyne 18 αἰδοιότατον E. Schmid : αἰδοιέστατον codd. 20 κλεεννᾶς BCDEG : κλεενᾶς V 22 δέδεξο D[llt] 23 σε μὴ E. Schmid : μή σε vett. : μή μιν Mosch. 24 Κυράνας Schroeder : κυράνα codd. : Κυράνᾳ E. Schmid : Κυράναν Hartung ἀειδομένη C[s] : ἀειδομένα Mommsen

παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν,
φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων·
ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων
ὀψινόου θυγατέρα Πρόφασιν Βαττιδᾶν
ἀφίκετο δόμους θεμισκρεόντων·
ἀλλ' ἀρισθάρματον
ὕδατι Κασταλίας ξενω-
θεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις,

στρ. β' ἀκηράτοις ἁνίαις
ποδαρκέων δώδεκ' ἂν δρόμων τέμενος.
κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν· ἀλλὰ κρέμαται
ὁπόσα χεριαρᾶν
τεκτόνων δαίδαλ' ἄγων
Κρισαῖον λόφον
ἄμειψεν ἐν κοιλόπεδον νάπος
θεοῦ· τό σφ' ἔχει κυπαρίσσινον
μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν,
Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασσίῳ
καθέσσαντο μονόδροπον φυτόν.

ἀντ. β' ἑκόντι τοίνυν πρέπει
νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.
Ἀλεξιβιάδα, σὲ δ' ἠΰκομοι φλέγοντι Χάριτες.
μακάριος, ὃς ἔχεις
καὶ πεδὰ μέγαν κάματον
λόγων φερτάτων
μναμήϊ'· ἐν τεσσαράκοντα γὰρ

26 φίλει Hermann 27 οὔτ' ἂν B$^1$E$^1$ Ἐπιμαθέος Heyne : ἐπιμηθέος codd. 28 ὑψινόου C$^1$ Βαττιδᾶν Mosch. : βαττιαδᾶν vett. 29 θεμικρεόντων Hartung 31 ξυνωθεὶς B τεαῖσιν recc. : τεαῖσι vett. 32 ἀκηράτοις CV : ἀκηράτοισιν BDEG ἁνίαισι vett., corr. Mosch. 33 δώδεκ' ἂν δρόμων Thiersch : δωδεκαδρόμων CEV : δυώδεκα δρόμων BDG 34 κρέμανται V 36 δαίδαλ' Pauw : δαιδάλματ' codd. 39 τόσσ' ἔχει Mair 41 παρνασίῳ BE 42 κάθεσσαν τὸν Boeckh 44 εὐεργέτην C 47 πεδὰ C$^1$DGV : μετὰ BC$^s$E 49 μναμήϊα D : μνημήϊα E : μνημήϊαον G : μνημήϊον B : μναμήϊον CV

πετόντεσσιν ἀνιόχοις ὅλον
δίφρον κομίξαις ἀταρβεῖ φρενί,
ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν
ἀέθλων καὶ πατρωΐαν πόλιν.

ἐπ. β' πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται·
ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,
πύργος ἄστεος ὄμμα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι φύγον,
γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν·
ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,
ὄφρα μὴ ταμίᾳ Κυρά-
νας ἀτελὴς γένοιτο μαντεύμασιν.

στρ. γ' ὃ καὶ βαρειᾶν νόσων
ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν,
μυχόν τ' ἀμφέπει
μαντήϊον· τῷ [καὶ] Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκά͜εντας Ἡρακλέος
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμὸν γαρύει
ἀπὸ Σπάρτας ἐπήρατον κλέος,

ἀντ. γ' ὅθεν γεγενναμένοι
ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,

50 πεντόντεσσιν E : πεπόντὲσσιν V : πεσσόντεσσιν C ἁνιόχοισιν CV 51 hoc versu terminatur cod. C 52 ἀγλαῶν Mosch. : ἀγαυῶν V : ἀγαθῶν BDEG 53 πατρωΐαν Mosch. : πατρώαν vett. 54 ἔσεται V : ἔσσεται rell. 55 ἔμπαντα V[llt] 58 δείγματι D φύγον Mosch. : φεῦγον vett. 69 μαντεῖον Hermann καὶ secl. Pauw 70 ἔν τ' V 71 ἔννασεν D ἀλκά͜εντας Bergk : ἀλκᾶντας codd. 72 γαρύει Wilamowitz : γαρύετ' BD[llt]EV : γαρύατ' G : γαρύεντ' P : γαρύεται V[1] : γαρύοιτ' Mosch. 74 κεκοιναμένοι Hermann 75 αἰγεῖδαι vett., corr. Mosch.

ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ, ἀλλὰ Μοῖρά τις ἄγεν·
πολύθυτον ἔρανον
ἔνθεν ἀναδεξάμενοι,
Ἄπολλον, τεᾷ,
Καρνήϊ', ἐν δαιτὶ σεβίζομεν
Κυράνας ἀγακτιμέναν πόλιν·
ἔχοντι τὰν χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι· σὺν Ἑλένᾳ γὰρ μόλον,
καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον

ἐπ. γ' ἐν Ἄρει· τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως
δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι,
τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσεν δ' ἄλσεα μείζονα θεῶν,
εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν, ἔνθα πρυ-
μνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών·

στρ. δ' μάκαρ μὲν ἀνδρῶν μέτα
ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής.
ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες ἀΐδαν
βασιλέες ἱεροὶ
ἐντί, μεγάλαν δ' ἀρετὰν
δρόσῳ μαλθακᾷ
ῥανθεῖσαν ὕμνων ὑπὸ χεύμασιν

76 ἄγεν EV   77 ἔρανον E Mosch. : ἐς ἔρανον rell.   78 ἀναδεξαμέναν Hermann   80 Καρνήϊ' Boeckh : καρνεῖ' codd.   σεβιζέμεν Pauw   83 ἀντηνορίδαι G$^{1}$V   84 εἶδον DEG   85 ἐνδικέως D$^{pc}$E   86 δέχονται DG   87 ἤγαγε B   88 βαθείας e scholl. Bergk   89 κτίσε EG   90 εὐθύτονον e scholl. E. Schmid   93 ἔπι δίχα Rittershuys : ἐπίδιχα codd.   98 μεγάλαν δ' ἀρετὰν G$^{pc}$U Mosch. : μεγαλᾶν δ' ἀρετᾶν vett.   100 ῥανθεῖσαν G$^{pc}$ : ῥανθεισᾶν rell.   ὕμνων ed. Oxon. 1697, Pauw : κώμων X Mosch. : κώμων θ' vett.   ὑπὸ χεύμασιν BEV : ὑποχεύμασιν DG

ἀκούοντί ποι χθονίᾳ φρενί,
σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
ἔνδικόν τ' Ἀρκεσίλᾳ· τὸν ἐν ἀοιδᾷ νέων
πρέπει χρυσάορα Φοῖβον ἀπύειν,

ἀντ. δ' ἔχοντα Πυθωνόθεν
τὸ καλλίνικον λυτήριον δαπανᾶν
μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί·
λεγόμενον ἐρέω·
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται
γλῶσσάν τε· θάρσος δὲ τανύπτερος
ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·
ἀγωνίας δ', ἕρκος οἷον, σθένος·
ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,
πέφανταί θ' ἁρματηλάτας σοφός·

ἐπ. δ' ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,
τετόλμακε. θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν,
καὶ τὸ λοιπὸν ὁμοῖα, Κρονίδαι μάκαρες,
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων
χειμερία κατὰ πνοὰ δαμαλίζοι χλόαν.
Διός τοι νόος μέγας κυβερνᾷ
δαίμον' ἀνδρῶν φίλων.
εὔχομαι νιν Ὀλυμπίᾳ
τοῦτο δόμεν γέρας ἔπι Βάττου γένει.

103 Ἀρκεσίλᾳ I[pc], Stephanus: ἀρκεσίλα vett. 107 ἐπαινέοντι Mosch.: αἰνέοντι vett. 111 θάρσος δὲ Schneidewin: θάρσος τε vett. 112 ὄρνυξιν DG ἔπλετο V: ἔπλετ' BDEG 114 ἐν δὲ Hartung ποτανὸς Heyne: ποτηνὸς BEGV: πτηνὸς D 116 ὅσαι Mosch.: ὅσσαι vett. 118 ὁμοῖα Hartung: ὦ codd. 121 χλόαν Bergk: χρόνον codd.: γόνον Hartmann: χνόον Zaehner 122 διός τε V μέγα V 123 φιλίων B 124 ἔπι Tricl.: ἐπὶ vett.: ἔτι Heyne

# *PYTHIA VI*

## ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Ἀκούσατ᾽· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἐς νάϊον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ᾽ ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ᾽ Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

στρ. β′ τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ᾽ ἄνεμος ἐς μυχοὺς
ἁλὸς ἄξοισι παμφόρῳ χεράδει
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

στρ. γ′ σύ τοι σχεθών νιν ἐπὶ δεξιὰ χειρὸς ὀρθὰν
ἄγεις ἐφημοσύναν,
τά ποτ᾽ ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,

1 ἢ Mosch. 3 ἀναπολήσομεν E. Schmid 4 νάϊον Hermann: ναὸν codd. 10 οὔτε V: οὐ BDEG 12 ἄνεμος BDGV: ἄνεμοι E 13 ἄξει Tricl. χεράδει Beck: χεράδι vett. 14 τυπτόμενον Dawes: τυπτόμενοι BDEG: τυπτόμενος V 15 κοινᾷ V 18 κρισαίαισιν ἐνὶ πτυχαῖσιν vett., corr. Mosch. ἀπαγγέλλει BEG 19 νῦν B ἐπὶ δεξιὰ V: ἐπιδέξια BDEG 21 τά E. Schmid: τό Tricl.: τάν vett. μεγαλοσθενῆ Bergk 23 μάλιστα δὲ V 24 βαρυοπᾶν E: βαρυόπᾶν B

θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

στρ. δʹ ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν βόασε παῖδα ὄν,

στρ. εʹ χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων δ' ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

στρ. ϝʹ πάτρῳ τ' ἐπερχόμενος ἀγλαΐαν ἅπασαν.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων·

25 θεὸν B 28 ἔγεντο Tricl.: ἐγένετο vett. 30 ἐναρήμβροτον E 31 ἀναμείναις Boeckh: ἀναμείνας Tricl.: ἀμμείνας vett. 32 νεστόρειον Byz.: νεστόρεον vett. 33 δαχθείς B 36 δοναθεῖσα Tricl.: δονήθεῖσα vett. 38 δ' ὁ BEV: δὲ DG: δ' secl. Bergk 40 ἐδόκησέν τε Hermann: ἐδόκησέ τε codd.: ἐδόκησ' ἔν τε Christ 41 ὁπλοτέροισι D τελέσαις B: τελέσσαις V[ac]: τελέσσας DEGV[pc] 43 παρήκει DG 44 τῶν νῦν δὲ recc.: τῶν δὲ νῦν vett. 46 ἔδειξεν ἅπασαν codd., corr. Bergk 47 δὲ om. B[1] πλούτῳ E[ac] ἄγειν D 48 διέπων E[1]

*τίν τ', Ἐλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων,*
*μάλα ἁδόντι νόῳ, Ποσειδάν, προσέχεται.*
*γλυκεῖα δὲ φρὴν*
*καὶ συμπόταισιν ὁμιλεῖν*
*μελισσᾶν ἀμείβεται τρητὸν πόνον.*

50 τήν D  ἄρχεις scripsi : ὀργαῖς πάσαις codd.  ὅσον B  ἱππιᾶν ἐσόδων Schroeder : ἱππείαν ἔσοδον codd.  51 προσέχεται E. Schmid : προσέρχεται codd.

## *PYTHIA VII*

### ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩΙ ΤΕΘΡΙΠΠΩΙ

στρ. Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι
προοίμιον Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ
κρηπῖδ᾽ ἀοιδᾶν ἵπποισι βαλέσθαι.
ἐπεὶ τίνα πάτραν, τίνα οἶκον ναίων ὀνυμάξεαι
ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

ἀντ. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεὸν πρόδομον
Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν.
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι, μία δ᾽ ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ᾽ ἀπὸ Κίρρας,

ἐπ. ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων.
νέᾳ δ᾽ εὐπραγίᾳ χαίρω τι· τὸ δ᾽ ἄχνυμαι,
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα. φαντί γε μὰν
οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

2 ἐρισθενεῖ Tricl. 4 τίν᾽ οἶκον D$^{c1}$G$^{1}$: τίνα δ᾽ οἶκον P: τίνα τ᾽ οἶκον rell.: corr. Boeckh ναίων] κλείων Thiersch: αἰνεών Kayser ὀνυμάξεαι Boeckh: ὀνυμάξαι vett. (-άξω E$^{pc}$): ὀνυμάξομαι Mommsen: ὀνυμάξομεν Rauchenstein 7 πολίεσσι V: πόλεσιν E: πολίεσσιν rell.: corr. Byz. λόγος V: ὁ λόγος BDEG 8 ἐρεχθέως DEG τεὸν πρόδομον Schroeder: τεόν τε δόμον BDEG: τεὸν δόμον V: τεόν γε δόμον Mosch.: τεὸν τέμενος Bergk 12 δοίω ἀπὸ Tricl. 14 χαίρω· τί δὲ τόδ᾽ Rauchenstein 16 πὰρ μονίμαν BDGV

# *PYTHIA VIII*

## ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΛΑΙΣΤΗΙ

στρ. α′ Φιλόφρον Ἡσυχία, Δίκας
ὦ μεγιστόπολι θύγατερ,
βουλᾶν τε καὶ πολέμων
ἔχοισα κλαῗδας ὑπερτάτας
Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.
τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·

ἀντ. α′ τὺ δ᾽ ὁπόταν τις ἀμείλιχον
καρδίᾳ κότον ἐνελάσῃ,
τραχεῖα δυσμενέων
ὑπαντιάξαισα κράτει τιθεῖς
ὕβριν ἐν ἄντλῳ· τὰν οὐδὲ Πορφυρίων μάθεν
παρ᾽ αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι.

ἐπ. α′ βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,
οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ᾽ Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ.

στρ. β′ ἔπεσε δ᾽ οὐ Χαρίτων ἑκὰς
ἁ δικαιόπολις ἀρεταῖς
κλειναῖσιν Αἰακιδᾶν
θιγοῖσα νᾶσος· τελέαν δ᾽ ἔχει
δόξαν ἀπ᾽ ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται

1 Ἀσυχία Heyne 4 ἔχουσα V κλᾶδας B 6 ἔρξαι E : ἄρξαι V ὅπως B 11 ὑπαντιάξαισα B : ὑπαντιάξασα rell. τιθεῖσ᾽ BD : τίθεις Bergk 12 μάθε BE : λάθεν Matthiae 13 δὲ om. V 14 ἑκόντες B εἰς δόμον Gγρ φέρει V¹ 15 ἔσφαλλεν G 16 ἑκατόγκρανος E. Schmid : ἑκατοντοκάρανος B : ἑκατοντακάρανος rell. νιν Ahlwardt : μιν codd. 17 δαμᾶθεν B : δμᾶθε E κερκυνῷ D 19 ξενάρκιον E 20 Παρνασίδι Boeckh : παρνασίᾳ codd. 21 ἔπεσσε E 24 θίγουσα E τελίαν Eac δ᾽ ἔχει om. D

νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις·

ἀντ. β′ τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν κνίξῃ. τὸ δ' ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

ἐπ. β′ παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς
Ὀλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις,
οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·
αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις,
τὸν ὅνπερ ποτ' Ὀϊκλέος παῖς ἐν ἑπταπύλοις ἰδὼν
Θήβαις υἱοὺς αἰνίξατο παρμένοντας αἰχμᾷ,

στρ. γ′ ὁπότ' ἀπ' Ἄργεος ἤλυθον
δευτέραν ὁδὸν Ἐπίγονοι.
ὧδ' εἶπε μαρναμένων·
"φυᾷ τὸ γενναῖον ἐπιπρέπει
ἐκ πατέρων παισὶ λῆμα. θαέομαι σαφὲς
δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος
νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.

ἀντ. γ′ ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ
νῦν ἀρείονος ἐνέχεται
ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν
ἀντία πράξει. μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ

26 νικαφόρους E θρέψαισα B: θρέψασα rell. 28 ἐν post καὶ codd., secl. Boeckh 30 μακρηγορίαν D[ac] 32 κνίξῃ Schroeder: κνίσῃ codd. 34 μηχανᾷ B 35 παλαισμάτεσι V ἰχνέων E. Schmid: οἰχνέων Hermann 37 κλειτόμαχον V 38 Μειδυλιδᾶν Bergk: μιδυλιδᾶν codd. 40 αἰνίξατο Boeckh: ᾐνίξατο codd. 41 ἀπ' om. V ἤληθον V 43 ὧδ' εἶπε Tricl.: ὧδε δ' εἶπε vett. 44 ἐπιτρέπει DV 45 θαέομαι B[s]EV: θεάομαι B[1]DG

θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν
ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ

ἐπ. γʹ "Ἄβαντος εὐρυχόρους ἀγυιάς." τοιαῦτα μὲν
ἐφθέγξατ' Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτὸς
Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν
ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον,
μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.

στρ. δʹ τὺ δ', ἑκαταβόλε, πάνδοκον
ναὸν εὐκλέα διανέμων
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τόθι χαρμάτων
ὤπασας, οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν
πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες·
ὦναξ, ἑκόντι τ' εὔχομαι νόῳ

ἀντ. δʹ κατά τιν' ἁρμονίαν βλέπειν
ἀμφ' ἕκαστον, ὅσα νέομαι.
κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέστακε· θεῶν δ' ὄπιν
ἄφθονον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων

ἐπ. δʹ βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς·
τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει,
ἄλλοτ' ἄλλον ὕπερθε βάλλων, ἄλλον δ' ὑπὸ χειρῶν.
μέτρῳ κατάβαιν'· ἐν Μεγάροις δ' ἔχεις γέρας,

53 λέξαις B: λέξας rell. τάχα θέων V 55 εὐρυχόρους B: εὐρυχώρους rell. (-ου D) 56 ἀμφιάραος D 59 ὑπάντασεν P: ὑπαντίασεν vett. γᾶς Tricl.: γαίας vett. 63 γυιάλοις V 67 ἄναξ E τ' (= σ') Wade-Gery: δ' codd. 68 κατ' ἐμὶν Schroeder: κατὰ τὶν Pauw 72 ἄφθονον G[gl], Ceporinus: ἄφθιτον vett. 73 πέπηται E 77 ἄλλοτ' ἄλλον Byz.: ἄλλοτε δ' ἄλλον vett. ὑποχειρῶν Bergk 78 μέτρῳ BD[i]G[i]: μέτρον D[s]EG[s]V κατάβαιν' Bergk: καταβαίνει codd. ἐν μεγάροις DG: ἐν μεγάροισι BEV

μυχῷ τ' ἐν Μαραθῶνος, Ἥρας τ' ἀγῶν' ἐπιχώριον
νίκαις τρισσαῖς, ὠριστόμενες, δάμασσας ἔργῳ·

στρ. ε΄ τέτρασι δ' ἔμπετες ὑψόθεν
σωμάτεσσι κακὰ φρονέων,
τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν Πυθιάδι κρίθη,
οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς
ὦρσεν χάριν· κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι
πτώσσοντι, συμφορᾷ δεδαγμένοι.

ἀντ. ε΄ ὁ δὲ καλόν τι νέον λαχὼν
ἁβρότατος ἔπι μεγάλας
ἐξ ἐλπίδος πέτεται
ὑποπτέροις ἀνορέαις, ἔχων
κρέσσονα πλούτου μέριμναν. ἐν δ' ὀλίγῳ βροτῶν
τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί,
ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.

ἐπ. ε΄ ἐπάμεροι· τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ
ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.
Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ
πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ
Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ.

79 ἀγὼν D 80 νίκαις $B^1G^1$ : νίκαισι BDEGV δάμασσας $G^{pc}V$ : δάμασας DE : δαμάσσαις B 84 κρήθη E 86 ὦρσεν B : ὦρσε rell. ἐπάοροι E 87 δεδαγμένοι Bergk : δεδαϊγμένοι codd. 88 τι καὶ νέον B 89 ἀπὸ E 90 πέτεται Schroeder : πέταται codd. 92 ὀλίγον V 93 τὸ om. D πίτνει Schroeder : ἐπιτνεῖ D : πιτνεῖ rell. 96 ἄνθρωπος e scholl. B ad *Nem.* vi 4 Boeckh : ἄνθρωποι codd. 97 ἔπεστι φέγγος ἀνδρῶν codd., corr. Heyne 99 Δὶ Boeckh : δὶὶ codd.

## *PYTHIA IX*

## ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩΙ ΟΠΛΙΤΟΔΡΟΜΩΙ

στρ. α´ Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν
σὺν βαθυζώνοισιν ἀγγέλλων
Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν
ὄλβιον ἄνδρα διωξίππου στεφάνωμα Κυράνας·
τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλ-
πων ποτὲ Λατοΐδας
ἅρπασ᾽, ἔνεγκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δί-
φρῳ, τόθι νιν πολυμήλου
καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς
ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.

ἀντ. α´ ὑπέδεκτο δ᾽ ἀργυρόπεζ᾽ Ἀφροδίτα
Δάλιον ξεῖνον θεοδμάτων
ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·
καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μειχθέντα κούρᾳ θ᾽
Ὑψέος εὐρυβία·
ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς, ἐξ
Ὠκεανοῦ γένος ἥρως
δεύτερος· ὅν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς
Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοισ᾽ ἔτικτεν,

ἐπ. α´ Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
θρέψατο παῖδα Κυράναν. ἁ μὲν οὔθ᾽ ἱστῶν παλιμβά-
μους ἐφίλησεν ὁδούς,
οὔτε δείπνων †οἰκουριᾶν μεθ᾽ ἑταιρᾶν τέρψιας,

2 ἀγγέλων DV 3 χαρίτεσι V 6 ἅρπασεν codd., corr. E. Schmid ἔνεικε V νιν] νῦν B[pc]DG[a] 8 τρίταν DG : τριτάταν BEV 9 ἀφροδίτη B[a]V 10 ξεῖνον B : ξένον DEGV θεοδμάτων BDG : θεοδώτων E : θεοσδότων V 11 χερὶ BE : χειρὶ DGV κούφᾳ G : κούφα rell. (-φᾶ B) 13 μειχθέντα Schroeder: μιχθέντα BE : μιχθέντι DGV 14 λαπιθῶν V 17 λευκώλενον e paraphr. Lehrs 19 οἰκουριᾶν DEGV : οἰκουριῶν B : οἰκοριᾶν Mosch. : οἰκοαρᾶν Wilamowitz : οὐκ ὀάρων D. S. Robertson : οἰκονόμων Mair

ἀλλ᾽ ἀκόντεσσίν τε χαλκέοις
φασγάνῳ τε μαρναμένα κεράϊζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
βουσὶν εἰρήναν παρέχοισα πατρῴαις,
τὸν δὲ σύγκοιτον γλυκὺν
παῦρον ἐπὶ γλεφάροις
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.

στρ. β′ κίχε νιν λέοντί ποτ᾽ εὐρυφαρέτρας
ὀβρίμῳ μούναν παλαίοισαν
ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.
αὐτίκα δ᾽ ἐκ μεγάρων Χίρωνα προσήνεπε φωνᾷ·
"σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπὼν θυμὸν γυναικὸς
καὶ μεγάλαν δύνασιν
θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ, μό-
χθου καθύπερθε νεᾶνις
ἦτορ ἔχοισα· φόβῳ δ᾽ οὐ κεχείμανται φρένες.
τίς νιν ἀνθρώπων τέκεν; ποίας δ᾽ ἀποσπασθεῖσα φύτλας

ἀντ. β′ ὀρέων κευθμῶνας ἔχει σκιοέντων;
γεύεται δ᾽ ἀλκᾶς ἀπειράντου.
ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν
ἦρα καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;"
τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλοαρὸν γελάσσαις
ὀφρύϊ, μῆτιν ἑὰν
εὐθὺς ἀμείβετο· "κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πει-
θοῦς ἱερᾶν φιλοτάτων,

21 μαρναμέναν D κεραΐζειν E 22 ἡσύχιον V : ἁσύχιον rell. (ἀσ- D) 23 εἰράναν V παρέχουσα vett., corr. Tricl. 24–5 ὕπνον . . . παῦρον V 24 γλεφάροις V : βλεφάροις BDEG 25 ἀαλίσκοισα Schroeder : ἀλδήσκοισα M. Schmidt 29 ἐκ μεγάρων] ἐκκαλέων Herwerden χείρωνα codd., corr. Schroeder προσήνεπε V : προσέννεπε Heyne 30 φιλλυρίδα E[1] 31 νῖκος D[s] 32 ἔχουσα B οὐ κεχυμάνται D : οὐκ ἐχείμανθεν ? Mommsen 33 τίς μὲν DG 34 σκιούντων D 35 ἀπειράτου B[pc] 36 ὁσία DV : ὅσια BEG κλυτὰν V : κλειτὰν BDEG χέρα DG : χεῖρα BEV 37 ἦ ῥα Hermann κεῖρε B μελιαδέα BE : μελιηδέα DGV 38 χλοαρὸν Schroeder : χλιαρὸν BDEGV : χλαρὸν PQ Mosch. γελάσσαις B : γελάσ(σ)ας rell.

Φοῖβε, καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς
αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τὸ πρῶτον εὐνᾶς.

ἐπ. β΄ καὶ γὰρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,
ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον. κού-
ρας δ' ὁπόθεν γενεὰν
ἐξερωτᾷς, ὦ ἄνα; κύριον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους·
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
κύμασι ῥιπαῖς τ' ἀνέμων κλονέονται,
χὤ τι μέλλει, χὠπόθεν
ἔσσεται εὖ καθορᾷς.
εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,

στρ. γ΄ ἐρέω· ταύτᾳ πόσις ἵκεο βᾶσσαν
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ' εὐρυλείμων
πότνιά τοι Λιβύα
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρό-
φρων· ἵνα οἱ χθονὸς αἶσαν
αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν νάποινον οὔτ' ἀγνῶτα θηρῶν.

ἀντ. γ΄ τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐγαῖς,

40 κἀνθρώποισιν V 41 ἀμφανδὸν E. Schmid : ἀμφαδὸν codd. 46 ὅσα E 47 ψάμμαθοι DG[ac] 48 χὠπόθεν E. Schmid : χ' ὤτι πόθεν BDEG : χὤτι ποθὶ V 52 ὑπερποντίου DG 54 ἀγείρας codd., corr. Heyne 55 τοι Schroeder : σοι codd. 57 ἐννόμως Hartung 58 νήποινον codd., corr. Schroeder 60 γαίᾳ Byz. : γαί' B : γαῖ V : γᾷ G : γᾶ DE 62 θαησάμεναι (θαυμάσασαι paraphr.) Bergk : θακάμεναι B : θηκάμεναι DV : θησάμεναι EG αὐγαῖς Bergk : αὔταις BEG : αὐταῖς DV : αὐταί Mair

νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θήσον-
 ταί τέ νιν ἀθάνατον,
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις, ἄγ-
 χιστον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν."
ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.

ἐπ. γ΄ ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν
πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν' ἆμαρ διαίτα-
 σεν· θαλάμῳ δὲ μίγεν
ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν
ἀμφέπει κλεινάν τ' ἀέθλοις.
καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
υἱὸς εὐθαλεῖ συνέμειξε τύχᾳ·
ἔνθα νικάσαις ἀνέφανε Κυράναν,
 ἅ νιν εὔφρων δέξεται
καλλιγύναικι πάτρᾳ
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

στρ. δ΄ ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι·
βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν
ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον
οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐρυ-
 σθῆος ἐπεὶ κεφαλὰν
ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ' ὑπὸ γᾶν δι-
 φρηλάτα Ἀμφιτρύωνος
σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος
κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.

63 *τέ νιν* V : *τέ μιν* BG : *γέ νιν* E 65 *ἀγραῖα* B[1] 67–8 *ὠκεῖαι . . . πράξεις* DG 71 *καὶ νῦν* vett., corr. Tricl. *καρνιάδα* codd., corr. E. Schmid 73 *νικάσαις* Heyne : *νικάσας* G : *νικήσας* E : *νικάσας* rell. 78 *ἀκόνα* Wilamowitz 79 *ἔγνον* Ahrens : *ἔγνων* codd. 80 *εὐρυσθέος* vett., corr. Byz. 83 *μετοικήσαις* B : *μετοικήσας* rell.

ἀντ. δ' τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων
ἐν μόναις ὠδῖσιν Ἀλκμάνα
διδύμων κρατησίμαχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει,
μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέ-
ψαντο καὶ Ἰφικλέα·
τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐ-
σλόν. Χαρίτων κελαδεννᾶν
μή με λίποι καθαρὸν φέγγος. Αἰγίνᾳ τε γὰρ
φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλέϊξας,

ἐπ. δ' σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών·
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν ξυ-
νῷ πεπονημένον εὖ
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω·
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον ἄφωνοί θ'
ὡς ἕκασται φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν,

στρ. ε' ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου
Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν
ἐπιχωρίοις. ἐμὲ δ' οὖν τις ἀοιδᾶν
δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
καὶ παλαιὰν δόξαν ἑῶν προγόνων· οἷοι Λιβύσσας
ἀμφὶ γυναικὸς ἔβαν

85 ἀλκμάνα B: ἀλκμήνα rell. 87 παραβάλλει D 88 ἀὲ Hermann: ἀεὶ V: αἰεὶ rell. 91 εὐκλεΐξαι codd., corr. Hermann 93 τοὔνεκεν Bergk πεποναμένον codd., corr. Mommsen 96 σύν γε Boeckh 97 νικήσαντα DE 98 ἕκασται E$^{pc}$: ἑκάσται B: ἑκάστᾳ G: ἑκάστα V: ἕκαστα DE$^{ac}$ 99 παρθενικᾷ Bergk 101 ἐν] ἔν τ' vett., corr. Byz. 104 αὖθις V 105 παλαιὰν V: παλαιῶν BEG παλαιὰ δόξα E. Schmid ἑῶν Mosch.: τεῶν vett.

Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον μνα-
στῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν εἶδος

ἀντ. ε΄ ἔπλετο· χρυσοστεφάνου δέ οἱ Ἥβας
καρπὸν ἀνθήσαντ᾽ ἀποδρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ᾽ ἐν Ἄργει
οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι
πρὶν μέσον ἆμαρ ἑλεῖν
ὠκύτατον γάμον· ἔστασεν γὰρ ἅπαντα χορὸν πρὸς
τέρμασιν αὐτίκ᾽ ἀγῶνος·
σὺν δ᾽ ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν,
ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.

ἐπ. ε΄ οὕτω δ᾽ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ
νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμή-
σαις τέλος ἔμμεν ἄκρον,
εἶπε δ᾽ ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
ἀμφί οἱ ψαύσειε πέπλοις.
ἔνθ᾽ Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,
παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
ἆγεν ἱππευτᾶν Νομάδων δι᾽ ὅμιλον.
πολλὰ μὲν κεῖνοι δίκον
φύλλ᾽ ἔπι καὶ στεφάνους·
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν.

106 ἴρασσαν πρὸς vett.: ἴρασαν ἐς Tricl.; corr. Heyne 109 οἱ om. V 112 ποτ᾽] τ᾽ V: τε Mosch. 113 εὗρεν V: εὗρε̄ B: εὗρε rell.: εὑρεῖν Bergk ἑλεῖν G: ἐλθεῖν BDEV 114 πρὸς Boeckh: ἐν codd. 115 ἀέθλοις E: ἀέθλοισι V: ἀέθλοισιν BDG 116 σχοίση E: σχήσει GV: σχήσι D 117 οὕτω δ᾽ ἐδίδου B: οὕτως δὲ δίδου DEGV 118 κοσμήσαις B: κοσμήσας G: κοσμήσας rell. 122 χειρὶ χειρὸς EV: χερὶ χερὸς D 123 κείνην E[s]: κείνῳ Bergk 125 νικᾶν V: νίκαν D: νίκας BEG: Νίκας Bergk

## *PYTHIA X*

## ΙΠΠΟΚΛΕΙ ΘΕΣΣΑΛΩΙ ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩΙ

στρ. α′ Ὀλβία Λακεδαίμων,
μάκαιρα Θεσσαλία. πατρὸς δ᾽ ἀμφοτέραις ἐξ ἑνὸς
ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.
τί κομπέω παρὰ καιρόν; ἀλλά με Πυθώ
τε καὶ τὸ Πελινναῖον ἀπύει
Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες
ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.

ἀντ. α′ γεύεται γὰρ ἀέθλων·
στρατῷ τ᾽ ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχὸς
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
Ἄπολλον, γλυκὺ δ᾽ ἀνθρώπων τέλος ἀρχά
τε δαίμονος ὀρνύντος αὔξεται·
ὁ μέν που τεοῖς τε μήδεσι τοῦτ᾽ ἔπραξεν,
τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς

ἐπ. α′ Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις
Ἄρεος ὅπλοις·
ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας ἀγὼν
πετρᾶν κρατησίποδα Φρικίαν.
ἕποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν·

1 *λακεδαίμων* B$^{l}$B$^{ls}$V$^{s}$ : *λακεδαῖμον* B$^{s}$B$^{ll}$DEGV$^{l}$ 2 *μάκαρα* E 4 post *κομπέω* dist. scholl. : *τί; κομπέω παρὰ καιρόν;* Heyne *κατὰ καιρόν* scholl. *πελιναῖον* DE *ἀπύειν* BD$^{ac}$V$^{lit}$ 5 *ἀλεύᾳ* G *ἱπποκλέᾳ* G : *ἱπποκλέα* BDEV 8 *ἀμφικτιόνων* Boeckh : *ἀμφικτυόνων* codd. *παρνάσιος* DV 9 *διαυλοδρομῶν* B$^{ac}$ : *διαυλοδρόμων* B$^{pc}$ 11 *τεοῖς τε* Tricl. : *τεοῖσί τε* BDEGV : *τεοῖς γε* Mosch. : *τεοῖσι* V$^{l}$ Rom. 13 *Οὐλυμπιονίκα* Heyne 15 *καὶ* om. E *βαθυλείμων* D : *βαθυλείμωνα* rell. 16 *πετρᾶν* Christ : *πέτραν* codd. : *πέτρας* Hartung : *πάτραν* Schroeder *κρατασίποδα* E *φρυκίαν* E : *Φρικία* Schroeder 18 *σφίσιν* B$^{ac}$EV : *σφίσι* B$^{pc}$DG

στρ. β′ τῶν δ’ ἐν Ἑλλάδι τερπνῶν
λαχόντες οὐκ ὀλίγαν δόσιν, μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς εἴη
ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμνη-
τὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς,
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
τὰ μέγιστ’ ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,

ἀντ. β′ καὶ ζώων ἔτι νεαρὸν
κατ’ αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων.
ὁ χάλκεος οὐρανὸς οὔ ποτ’ ἀμβατὸς αὐτῷ·
ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁ-
πτόμεσθα, περαίνει πρὸς ἔσχατον
πλόον· ναυσὶ δ’ οὔτε πεζὸς ἰών ⟨κεν⟩ εὕροις
ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.

ἐπ. β′ παρ’ οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας,
δώματ’ ἐσελθών,
κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
εὐφαμίαις τε μάλιστ’ Ἀπόλλων
χαίρει, γελᾷ θ’ ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.

στρ. γ′ Μοῖσα δ’ οὐκ ἀποδαμεῖ
τρόποις ἐπὶ σφετέροισι· παντᾷ δὲ χοροὶ παρθένων
λυρᾶν τε βοαὶ καναχαί τ’ αὐλῶν δονέονται·
δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαν-
τες εἰλαπινάζοισιν εὐφρόνως.
νόσοι δ’ οὔτε γῆρας οὐλόμενον κέκραται
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ

21 εἴη] αἰεὶ Schneidewin 23 χερσὶ E κρατήσαις B[a] : κρατήσας rell. 26 ἴδῃ Rom.: ἴδοι codd. 27 αὐτῷ PQ : αὐτοῖς BDEGV 28 βροτὸν E. Schmid : βρότεον codd. ἁπτόμεθα vett., corr. Tricl. 29 κεν suppl. Hermann : ἂν εὕροις Mosch. : εὕροις ἂν Tricl. 30 θαυματὰν E. Schmid ; θαυμαστὰν codd. 32 δώματ’ ἐλθών DG 33 ἐπιτόσσαις BE[1]V[ac] (-ᾳς G) : ἐπιτόσσας DEV[pc] 35 εὐφαμίας D 36 γαλᾷ D 38 παντᾷ G : παντᾶ rell. δὲ χοροὶ τὲ D 40 εἰλαπινάζοισιν DG : εἰλαπινάζουσιν BEV 41 ὀλόμενον E

ἀντ. γ′ οἰκέοισι φυγόντες
ὑπέρδικον Νέμεσιν. θρασείᾳ δὲ πνέων καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ᾽ Ἀθάνα,
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφνέν
τε Γοργόνα, καὶ ποικίλον κάρα
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι

ἐπ. γ′ θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται
ἔμμεν ἄπιστον.
κώπαν σχάσον, ταχὺ δ᾽ ἄγκυραν ἔρεισον χθονὶ
πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ᾽ ἄλλοτ᾽ ἄλλον ὥτε μέλισσα θύνει λόγον.

στρ. δ′ ἔλπομαι δ᾽ Ἐφυραίων
ὄπ᾽ ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἄλι-
ξι θησέμεν ἐν καὶ παλαιτέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρωτες ἔκνιξαν φρένας·

ἀντ. δ′ τῶν δ᾽ ἕκαστος ὀρούῃ,
τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός·
τὰ δ᾽ εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανέϊ Θώρα-
κος, ὅσπερ ἐμὰν ποιπνύων χάριν
τόδ᾽ ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
φιλέων φιλέοντ᾽, ἄγων ἄγοντα προφρόνως.

43 οἰκέουσι E 45 μόλε DE 46 ἔπεφνέν Mosch. Tricl.: πέφνέ DG: ἔπεφνέ rell. καὶ om. E 47 φόβεσιν B ἤλυθεν V 48 θαυμάσαι] θαυματὸν Rauchenstein 52 πρώραθε codd., corr. Bergk χειράδος V ἀλκὰν DE[s]G 54 ὥτε G: ὥστε BDEV 57 ἱπποκλέαν F: ἱπποκλέα rell. 58 ἄλιξιν E ἐν καὶ Tricl.: ἔν τε καὶ B: ἔν τε DEGV 59 νέαισίν recc.: νέαισί vett. παρθένοις V 60 ἑτέροις ἑτέρων V[1]: ἑτέροισιν ἑτέρων BDEGV ἔρωτες ἔκνιξαν Mair: ἔρως ἔκνιξε(ν) codd. 63 ἀτέκμαρτα I 64 ὅπερ E

ἐπ. δʹ πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει
καὶ νόος ὀρθός.
ἀδελφεοὺς καὶ ἐπαινήσομεν ἐσλούς, ὅτι
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
αὔξοντες· ἐν δ' ἀγαθοῖσι κεῖνται
πατρώϊαι κεδναὶ πολίων κυβερνάσιες.

69 ἀδελφεοὺς καὶ ἐπαινήσομεν ἐσλούς Ahlwardt : ἀδελφεούς τ' ἐπαινήσομεν ἐσλούς codd. : ἀδελφεοῖσί τ' ἐπαινήσομεν ἐσλοῖς Wilamowitz  71 κεῖνται $BEG^bV$ : κεῖται $DG^a$  72 πατρῶ(ῷ)αι vett., corr. Byz.

## *PYTHIA XI*

## ΘΡΑΣΥΔΑΙΩΙ ΘΗΒΑΙΩΙ ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

στρ. α' Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις,
Ἰνὼ δὲ Λευκοθέα
2b ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων,
ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων
θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας,

ἀντ. α' Ἰσμήνιον δ' ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον,
ὦ παῖδες Ἁρμονίας,
7b ἔνθα καί νυν ἐπίνομον ἡρωΐδων
στρατὸν ὁμαγερέα καλεῖ συνίμεν,
ὄφρα θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκρᾳ σὺν ἑσπέρᾳ

ἐπ. α' ἑπταπύλοισι Θήβαις
χάριν ἀγῶνί τε Κίρρας,
ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν
τρίτον ἔπι στέφανον πατρῴαν βαλών,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
νικῶν ξένου Λάκωνος Ὀρέστα.

στρ. β' τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμήστρας
χειρῶν ὕπο κρατερᾶν
18b ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος,
ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ πόρευ' Ἀχέροντος ἀκτὰν παρ' εὔσκιον

2b *νηρηΐδων* Mosch.: *νηρεΐδων* vett. 3 *ἀριστογόνου* e paraphr. Mommsen 4 *ἐς* Tricl.: *εἰς* vett. 6 *ἰσμήνειον* E *ἀλαθεία* D *μαντίων* Hermann: *μαντείων* BDEG: *μαντεῖον* V 8 *ὁμαγερέα* T. Mommsen: *ὁμηγερέα* BE: *ὁμυγερέα* V: *ὁμηγυρέα* DG *συνέμεν* DG 10 *κελαδήσετ'* Heyne: *κελαδῆτε* codd. 13 *ἄμνασεν* Kayser 14 *ἔπι* Hermann: *ἐπὶ* codd. 17 *Κλυταιμήστρας* Schroeder: *κλυταιμνήστρας* codd. 18 *χειρῶν* E. Schmid: *χερῶν* codd. *ὕπο* DG: *ὑπὸ* BEV *κρατερᾶν* D: *καρτερᾶν* BGV: *καρτερῶν* E 20 *κασάνδραν* BV: *κασσάνδρα* D 21 *πόρευ'* $E^{pc}$V: *πόρευσ'* $BE^{ac}$: *πόρευσεν* DG

ἀντ. β′ νηλὴς γυνά. πότερόν νιν ἄρ᾽ Ἰφιγένει᾽ ἐπ᾽ Εὐρίπῳ
σφαχθεῖσα τῆλε πάτρας
ἔκνιξεν βαρυπάλαμον ὄρσαι χόλον;
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
ἔννυχοι πάραγον κοῖται; τὸ δὲ νέαις ἀλόχοις
ἔχθιστον ἀμπλάκιον καλύψαι τ᾽ ἀμάχανον

ἐπ. β′ ἀλλοτρίαισι γλώσσαις·
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει.
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
ἵκων χρόνῳ κλειταῖς ἐν Ἀμύκλαις,

στρ. γ′ μάντιν τ᾽ ὄλεσσε κόραν, ἐπεὶ ἀμφ᾽ Ἑλένᾳ πυρωθέντων
Τρώων ἔλυσε δόμους
ἁβρότατος. ὁ δ᾽ ἄρα γέροντα ξένον
Στρόφιον ἐξίκετο, νέα κεφαλά,
Παρνασσοῦ πόδα ναίοντ᾽· ἀλλὰ χρονίῳ σὺν Ἄρει
πέφνεν τε ματέρα θῆκέ τ᾽ Αἴγισθον ἐν φοναῖς.

ἀντ. γ′ ἦρ᾽, ὦ φίλοι, κατ᾽ ἀμευσιπόρους τριόδους ἐδινήθην,
ὀρθὰν κέλευθον ἰὼν
τὸ πρίν· ἤ μέ τις ἄνεμος ἔξω πλόου
ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον ἐνναλίαν;
Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν
φωνὰν ὑπάργυρον, ἄλλοτ᾽ ἄλλᾳ ταρασσέμεν

23ᵇ ἔκνισε vett., corr. Schroeder λόχον V 24 δαμαζομέναν BE : δαμαλιζομέναν DGV 25 ἐννύχιοι B : ἔννυχον V τὸ δὲ I$^{pc}$: τὸ δὴ vett.: τόδε Tricl. 26 αἴσχιστον Hecker ἀμβλάκιον B 28 τὲ D 30 ἄφαντος D 31 θάνε vett., corr. Tricl. 32 κλειταῖς BDEG : κλυταῖς V 33 ὤλεσε V 34 ἔλυσε] ἔπαυσε Herwerden ξένον γέροντα vett., transp. Byz. 35 νέα(ᾳ) κεφαλᾶ(ᾷ) codd., corr. Heyne 36 παρνασσοῦ G : παρνασοῦ BDEV χρόνω(ῳ) vett. : χρόνῖ (ω) B$^{cl}$: corr. Tricl. 37 πέφνεν τε Mosch. : ἔπεφνέ τε V : ἔπεφνε BDEG 38 ἀμευσιπόρους τριόδους Hermann : ἀμευσίπορον τρίοδον codd. ἐδινήθην B : ἐδινάθην rell. 40 ἐναλίαν vett., corr. Schroeder 41 τὸ δ᾽ ἐτεόν vett., corr. Mosch. μισθοῖο Bergk : μισθῷ codd. 42 ἐπάργυρον Schneider : ὑπ᾽ ἄργυρον Bergk ἄλλᾳ G : ἄλλα rell. χρὴ ταρασσέμεν codd., corr. E. Schmid ταρασσέμεν] παρᾳσσέμεν Jurenka : χαρασσέμεν Bergk

ἐπ. γ΄ ἦ πατρὶ Πυθονίκῳ
τό γέ νυν ἦ Θρασυδαίῳ,
τῶν εὐφροσύνα τε καὶ δόξ᾽ ἐπιφλέγει.
τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι,
᾽Ολυμπίαθ᾽ ἀγώνων πολυφάτων
ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις,

στρ. δ΄ Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν
῾Ελλανίδα στρατιὰν
ὠκύτατι. θεόθεν ἐραίμαν καλῶν,
δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ
ὄλβῳ τεθαλότα, μέμφομ᾽ αἶσαν τυραννίδων·

ἀντ. δ΄ ξυναῖσι δ᾽ ἀμφ᾽ ἀρεταῖς τέταμαι· φθονεροὶ δ᾽ ἀμύνονται.
τᾶν εἴ τις ἄκρον ἑλὼν
ἡσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν
ἀπέφυγεν, μέλανος ὅγ᾽ ἐσχατιὰν
καλλίονα θανάτοι᾽ ἔσχεν, γλυκυτάτᾳ γενεᾷ
εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών·

ἐπ. δ΄ ἅ τε τὸν ᾽Ιφικλείδαν
διαφέρει ᾽Ιόλαον
ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,
τὸ μὲν παρ᾽ ἆμαρ ἕδραισι Θεράπνας,
τὸ δ᾽ οἰκέοντας ἔνδον ᾽Ολύμπου.

43 πυθιονίκων D: πυθιονίκω EGV: πυθιονίκῳ B: corr. Tricl. 44 γε νῦν codd., corr. E. Schmid 46 ἐν Tricl., om. vett. 47 ᾽Ολυμπίαθ᾽ P. Maas: ὀλυμπίᾳ τ᾽ codd. 51 ἐν ἁλικίᾳ] ἐν εὐδικίᾳ Hecker: ἐν ἁσυχίᾳ Rauchenstein 52 μακροτάτῳ DG 52–3 σὺν ὄλβῳ vett., corr. E. Schmid 54 ξυναῖσι (om. δ᾽) V 54–5 ἀμύνονται· τᾶν Thiersch: ἀμύνοντ᾽ ἄτα(ᾳ) codd. 55^b ἡσυχᾷ Mommsen: ἡσυχίᾳ(α) codd. αἰνὰν] αἰῶν᾽ Hartung 56 μέλανος ὅγ᾽ scripsi: μέλανος δ᾽ B: μέλανος δ᾽ ἂν᾽ DEGV 57 θανάτοι᾽ Shackle: θανάτου B: θάνατον rell. ἔσχεν D, om. rell. ἐν γλυκυτάτᾳ vett. (-ύτατι V): ἐν secl. Tricl.: γλυκυτάταν Bornemann 58 κράτιστον B[1] 62 τ᾽ ἄναξ vett., corr. Byz. 64 ἔνδον] ἕδος E: ἐντὸς Hecker

## *PYTHIA XII*

### ΜΙΔΑΙ ΑΥΛΗΤΗΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ

στρ. α′ Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ τ᾽ ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν, ὦ ἄνα,
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ
δέξαι στεφάνωμα τόδ᾽ ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ
αὐτόν τέ νιν Ἑλλάδα νικά-
σαντα τέχνᾳ, τάν ποτε
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ᾽ Ἀθάνα·

στρ. β′ τὸν παρθενίοις ὑπό τ᾽ ἀπλάτοις ὀφίων κεφαλαῖς
ἄϊε λειβόμενον δυσπενθέϊ σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον Φόρκοι᾽ ἀμαύρωσεν γένος,
λυγρόν τ᾽ ἔρανον Πολυδέκτᾳ
θῆκε ματρός τ᾽ ἔμπεδον
δουλοσύναν τό τ᾽ ἀναγκαῖον λέχος,
εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας

στρ. γ′ υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου
ἔμμεναι. ἀλλ᾽ ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
ἐρρύσατο, παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,
ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ᾽ ἐρικλάγκταν γόον.

1 βροτεῶν D  2 ὄχθους V  ἔπι E. Schmid : ἐπὶ codd.  3 ἐΰδματον E. Schmid : εὔδματον codd.  ὦ om. D  4 εὐμενίᾳ V : εὐμενείᾳ(α) BDE  5 εὐδόξου μίδα E  6 νικήσαντα EV  8 διαπλέξαισ᾽ BV : διαπλέξασθ᾽ D : διαπλέξασ᾽ rell.  9 παρθένοις V  10 δυσπενθέϊ Byz. : δυσπενθεῖ vett.  11 ἄνυσσεν Boeckh : ἄϋσε BEGV : ἄϋσεν D  12 ἐνναλίᾳ Schroeder : ἐναλίᾳ vett. : εἰναλίᾳ Mosch.  εἰναλίᾳ τε Σερίφῳ λαοῖσί τε Boeckh  13 ἀμαύρωσεν BG : ἀμαύρωσε DEV  16 εὐπαράον D  συλάσαις Heyne : συλήσαις B : συλήσας G : συλήσας DEV  17 φαμὲν] φάτις Hecker  αὐτορύτου EV^ac : αὐτορρύτου BDGV^pc  19 ἐρύσατο V  21 ἐρικλέγκταν V

εὗρεν θεός· ἀλλά νιν εὑροῖσ᾽
ἀνδράσι θνατοῖς ἔχειν,
ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον,
εὐκλεᾶ λαοσσόων μναστῆρ᾽ ἀγώνων,

στρ. δ′ λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων
26 τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλι Χαρίτων
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἦ καὶ σάμερον
30 δαίμων· τὸ δὲ μόρσιμον οὐ παρ-
φυκτόν· ἀλλ᾽ ἔσται χρόνος
οὗτος, ὃ καί τιν᾽ ἀελπείᾳ βαλὼν
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ᾽ οὔπω.

22 μιν B 23 ὠνόμασε(ν) codd., corr. Mommsen 24 εὐκλεᾶ E. Schmid: εὐκλέα codd. μνηστῆρ᾽ V 25 διανισσόμενον V θ᾽ ἅμα V 26 καλλιχώρω D$^{pc}$V: καλλίχορον Hermann ναίουσι D πόλι Bergk: πόλει V: πόλιν BD 27 χορευταὶ B 29 ἦ καὶ scripsi: ἤτοι codd. ἐκ δὲ τέλεσσ᾽ ἔννῃ νιν ἤτοι Mair 31 ἀελπείᾳ Mommsen: ἀελπτία DV: ἀελπία B

## *ΝΕΜΕΑ Ι*

### ΧΡΟΜΙΩΙ ΑΙΤΝΑΙΩΙ ΙΠΠΟΙΣ

στρ. α′ Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,
κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,
δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
5 ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίου χάριν·
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα τ'
ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.

ἀντ. α′ ἀρχαὶ δὲ βέβληνται θεῶν
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
10 ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ,
τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ-
σέν τέ οἱ χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς

ἐπ. α′ Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων
15b ἀφνεαῖς·
ὤπασε δὲ Κρονίων
16b πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλ-
λοις ἐλαιᾶν χρυσέοις
μειχθέντα. πολλῶν ἐπέβαν
18b καιρὸν οὐ ψεύδει βαλών·

7 θ' ἕρμασι B: θ' ἔργμασι rell.: corr. Byz. 8 θεῷ Dawes: ἐκ θεῶν Mingarelli 9 κείνου] κλεινοῦ Mingarelli 11 μεγάλων B: μεγίστων DV 13 σπεῖρέ νυν e paraphr. Beck: ἔγειρε νῦν vett.: νῦν ἔγειρ' Tricl. 14 χαίτας V 17 θαμὰ codd. (θ' ἅμα $D^{ac}$): θάμα Leutsch χρυσέοισι vett., corr. Tricl.

στρ. β′ ἔσταν δ᾽ ἐπ᾽ αὐλείαις θύραις
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ᾽ ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐ-
σλοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ᾽ ἑτέρων ἕτεραι·
χρὴ δ᾽ ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.

ἀντ. β′ πράσσει γὰρ ἔργῳ μὲν σθένος,
βουλαῖσι δὲ φρήν, ἐσσόμενον προϊδεῖν
συγγενὲς οἷς ἕπεται.
Ἁγησιδάμου παῖ, σέο δ᾽ ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
τον κατακρύψαις ἔχειν,
ἀλλ᾽ ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι φίλοις ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ᾽ ἐλπίδες

ἐπ. β′ πολυπόνων ἀνδρῶν. ἐγὼ δ᾽ Ἡρακλέος ἀντέχομαι
33b προφρόνως
ἐν κορυφαῖς ἀρετᾶν
34b μεγάλαις, ἀρχαῖον ὀτρύνων λόγον,
ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαη-
τὰν ἐς αἴγλαν παῖς Διὸς
ὠδῖνα φεύγων διδύμῳ
36b σὺν κασιγνήτῳ μόλεν,

στρ. γ′ ὥς οὐ λαθὼν χρυσόθρονον
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα,
ἀλλὰ θεῶν βασίλεα

20 καλὰ] κλέα ? Bergk 22 θ᾽ ἅμα δ᾽ Hartung 24 μεμφόμενοι ignoti ap. scholl. ἐσλοὺς Aristarchus: ἐσλὸς codd. 25 ἠθείαις D 31 ἔρασαι Mingarelli κατακρύψας vett., corr. Tricl. 35 ὡς ἄρα Hermann εἰς vett., corr. Byz. 37 ὧς τ᾽ codd., corr. Boeckh 38 ἐγκατέβαν V 39 βασί-λεια vett., corr. Heyne

σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
ἀμφιελίξασθαι μεμαῶτες· ὁ δ' ὀρ-
θὸν μὲν ἄντεινεν κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,

ἀντ. γ' δισσαῖσι δοιοὺς αὐχένων
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας.
ἀγχομένοις δὲ βρόχος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμά-
νας ἀρήγοισαι λέχει·
καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρού-
σαισ' ἀπὸ στρωμνᾶς ὅμως ἄμυνεν ὕβριν κνωδάλων.

ἐπ. γ' ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις σὺν ὅπλοις ἔδραμον
51b ἀθρόοι,
ἐν χερὶ δ' Ἀμφιτρύων
52b κολεοῦ γυμνὸν τινάσσων ⟨φάσγανον⟩
ἵκετ' ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖ-
ον πιέζει πάνθ' ὁμῶς·
εὐθὺς δ' ἀπήμων κραδία
54b κᾶδος ἀμφ' ἀλλότριον.

στρ. δ' ἔστα δὲ θάμβει δυσφόρῳ
56 τερπνῷ τε μειχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ· παλίγγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.

43 ἄντεινε B¹V : ἀνέτεινε BD : corr. Byz. 45 μάρψαις B : μάρψας rell. 46 βρόχος Hartmann : χρόνος codd. 48 δέος] βέλος V^ac 49 ἀλκμήνας codd., corr. Schroeder 50 ὀρούσασ' DV ὁμῶς codd., corr. Stephanus 52 χερσὶ V 52b φάσγανον suppl. Mosch. 54 καρδία codd., corr. E. Schmid 58 παλίγλωσσον V

γείτονα δ᾽ ἐκκάλεσεν Διὸς ὑψί-
στου προφάταν ἔξοχον,
ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις,

ἀντ. δ΄ ὅσσους μὲν ἐν χέρσῳ κτανών,
ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας,
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
φᾶσέ νιν δώσειν μόρῳ.
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
γρας Γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν

ἐπ. δ΄ ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον
69b ⟨ἐν⟩ σχερῷ
ἡσυχίαν καμάτων
70b μεγάλων ποινὰν λαχόντ᾽ ἐξαίρετον
ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥ-
βαν ἄκοιτιν καὶ γάμον
δαίσαντα πὰρ Δὶ Κρονίδᾳ,
72b σεμνὸν αἰνήσειν νόμον.

60 ἐκκάλεσεν Tricl.: ἐκκάλεσαν B$^{pc}$DV$^{1}$: ἐκάλεσαν rell. 63 δὲ E. Schmid: δ᾽ ἐν codd. 66 φᾶ ϝ᾽ ἀϊστώσειν Schroeder μόρῳ Beck: μόρον codd. 68 γαῖαν D πεφυρήσεσθαι V: σφε φύρσεσθαι Bergk 69 ἔννεπεν vett., corr. Byz. μὰν BD: μὲν B$^{1}$D$^{1}$V 69$^{b}$ ἐν suppl. Hermann 72 διὶ codd., corr. Boeckh 72$^{b}$ αἰνήσει B νόμον e scholl. Pauw: δόμον BD: γάμον B$^{γρ}$V: πότμον Kayser: σταθμόν Bergk

# *ΝΕΜΕΑ ΙΙ*

## ΤΙΜΟΔΗΜΩΙ ΑΧΑΡΝΕΙ ΠΑΓΚΡΑΤΕΙ

στρ. α′ Ὅθεν περ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πόλλ᾽ ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμίου, καὶ ὅδ᾽ ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδε-
κται πρῶτον Νεμεαίου
ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

στρ. β′ ὀφείλει δ᾽ ἔτι, πατρίαν
εἴπερ καθ᾽ ὁδόν νιν εὐθυπομπὸς
αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,
θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον ἐν
Πυθίοισί τε νικᾶν
Τιμονόου παῖδ᾽· ἔστι δ᾽ ἐοικὸς

στρ. γ′ ὀρειᾶν γε Πελειάδων
μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν
δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκτωρ Αἴαντος ἄκουσεν. ὦ
Τιμόδαμε, σὲ δ᾽ ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.

στρ. δ′ Ἀχάρναι δὲ παλαίφατον
εὐάνορες· ὅσσα δ᾽ ἀμφ᾽ ἀέθλοις,
Τιμοδαμίδαι ἐξοχώτατοι προλέγονται.
παρὰ μὲν ὑψιμέδοντι Παρνασσῷ τέσσαρας ἐξ ἀέ-
θλων νίκας ἐκόμιξαν·
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

4 ἱερᾶν codd., corr. E. Schmid : ἱερὰν Bury  πρῶτα Tricl.: πρώταν Heyne  6 δ᾽ ἔτι V Aristarchus : δέ τι BD  πατρώαν V$^{s}$  7 καθ᾽ ὁδόν νιν V: καθ᾽ ὁδόνιν D : κάθοδόν νιν B  εὐθύποντος D  9 θαμὰ codd. : ἅμα Hartung : θάμα Bergk  11 θερειᾶν Crates  γε] Ϝε Bergk  12 ὀαρίωνα Athenaeus xi 490f cod. E: ὠαρίωνα BDV  νεῖσθαι V : ἀνεῖσθαι BD  14 μὲν Tricl.: μὰν vett. ἄκουσεν codd.: ἐγεύσατ᾽ Matthiae : ἄεισεν W. Schulze  τιμόδημε σὰ δ᾽ V  18 τιμοδημίδαι codd., corr. Schroeder  19 παρὰ μὲν Tricl.: πὰρ μὲν BDV

στρ. ϵ´ ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς
ὀκτὼ στεφάνοις ἔμειχθεν ἤδη·
ἑπτὰ δ' ἐν Νεμέᾳ—τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ—
Διὸς ἀγῶνι. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδά-
μῳ σὺν εὐκλέϊ νόστῳ.
ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

21 πτυχαῖς] πύλαις Bergk 22 ἔμιχθεν codd., corr. Schroeder 23 μᾶσσον V ἀριθμῷ(ω) B$^{s}$D 24 τιμοδήμῳ(ω) codd., corr. Schroeder εὐκλεεῖ codd., corr. Rom.

# *NEMEA III*

## ΑΡΙΣΤΟΚΛΕΙΔΗΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ

στρ. α′ Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι,
τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι
ἵκεο Δωρίδα νᾶσον Αἴγιναν· ὕδατι γὰρ
μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ μελιγαρύων τέκτονες
κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.
διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου,
ἀεθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν φιλεῖ,
στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν·

ἀντ. α′ τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἁμᾶς ἄπο·
ἄρχε δ᾽, οὐρανοῦ πολυνεφέλᾳ κρέοντι θύγατερ,
δόκιμον ὕμνον· ἐγὼ δὲ κείνων τέ νιν ὀάροις
λύρᾳ τε κοινάσομαι. χαρίεντα δ᾽ ἕξει πόνον
χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι
ᾤκησαν, ὧν παλαίφατον εἶραν
οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν
ἐμίανε κατ᾽ αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς

ἐπ. α′ παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν
ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ
τὸ καλλίνικον φέρει.
εἰ δ᾽ ἐὼν καλὸς ἔρδων τ᾽ ἐοικότα μορφᾷ

1 ὦ B[1]D, om. BV  2 πολυξείναν vett., corr. Mosch.  3 δωρίδων V  4 μὴ γαρύων D  7 ἀεθλονείκια V  9 ἁμᾶς B : ἀμᾶς V : ἀκᾶς D  10 οὐρανοῦ Didymus, Boeckh : οὐρανῷ BD Aristarchus : οὐρανώα V  πολυνεφέλᾳ Aristarchus, Didymus : πολυνεφέλα codd.  11 δ᾽ ἐκείνων codd., corr. Boeckh  μιν codd., corr. Mommsen  12 κοινάσομαι Boeckh : κοινώσομαι codd.  ἕξεις Heyne  13 μυρμιδόνος V  14 εἶραν Mair coll. Hes. *Theog.* 804, Hom. *Il.* Σ 531, *Et. Mag.* s.v. εἶρα : ἀγορὰν codd. : ἀλκὰν Rauchenstein : ἕδραν Kayser  15 ἐλέγχεισσιν V : ἐλεγχέεσιν BD : corr. Byz.  τεὰν BV : τεᾶν D : νέαν Boissonade : ἑάν Pauw  18 νεμέαν D  19 εἰ δ᾽ ὢν codd. : εἰ δὲ ὢν scholl. *Nem.* ix 109 : corr. Heyne

ἀνορέαις ὑπερτάταις ἐπέβα
παῖς Ἀριστοφάνεος, οὐκέτι πρόσω
ἀβάταν ἅλα κιόνων ὕπερ Ἡρακλέος περᾶν εὐμαρές,

στρ. β′ ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας
μάρτυρας κλυτάς· δάμασε δὲ θῆρας ἐν πελάγεϊ
ὑπερόχους, ἰδίᾳ τ᾽ ἐρεύνασε τεναγέων
ῥοάς, ὁπᾷ πόμπιμον κατέβαινε νόστου τέλος,
καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβεις;
Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.
ἕπεται δὲ λόγῳ δίκας ἄωτος, "ἐσλὸν αἰνεῖν",

ἀντ. β′ οὐδ᾽ ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες·
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαχες
γλυκύ τι γαρυέμεν. παλαιαῖσι δ᾽ ἐν ἀρεταῖς
γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών·
ὃς κἰαολκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ᾽ εὐρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

ἐπ. β′ καί ποτε χαλκότοξον Ἀμαζόνων μετ᾽ ἀλκὰν
ἕπετό οἱ, οὐδέ νίν ποτε φόβος ἀνδροδάμας
ἔπαυσεν ἀκμὰν φρενῶν.
συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει.

20 Ἀριστοφάνεος Mommsen: ἀριστοφάνους BD: ἀριστοφάνευς V  πόρσω scholl. *Nem.* ix 109  23 πελάγεϊ Mosch.: πελάγει BDV: πελάγεσιν Hermann  24 ὑπέροχος BDV, corr. Mosch.  διά τ᾽ ἐρεύνασε scholl., unde διά τ᾽ ἐξερεύνασε Boeckh  25 ὅπα codd., corr. Mommsen  26 φράδασσε Mosch.; φράδασε vett. (-ησε $V^{ac}$)  27 ἄκραν] ἀκτὰν P. Maas  παραμείβεις P. Maas: παραμείβῃ(η) codd.: παραμείβεαι Boeckh  28 φαμὶ BV: φημὶ D  29 ἐσλὸν $BV^{s}$: ἐσλὸς $DV^{1}B^{1}D^{1}$  31 ἔλαχες e scholl. Bergk: ἔλαβες codd.  33 περίαλλον Herwerden  34 κἰαολκὸν Schroeder: καὶ ἰωλκὸν codd.: καὶ Ϝιωλκὸν Bergk  μοῦνος BDV, corr. Byz.  37 ἰόλα BDV, corr. Tricl.  ἔπερσεν Tricl.: ἔπερσε BDV  38 χαλκότοξον V: χαλκοτόξων BD  39 νιν Mommsen: μιν codd.  ἀκμὰν V: ἀλκὰν BD: αἰχμὰν Heyne

ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ
ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ
κατέβα ποδί, μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.

στρ. γ′ ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα· χερσὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλλων ἶσα τ' ἀνέμοις,
μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον,
κάπρους τ' ἔναιρε· σώματα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
ἑξέτης τὸ πρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον·
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα,

ἀντ. γ′ κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων·
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦτο προτέρων
ἔπος ἔχω· βαθυμῆτα Χίρων τράφε λιθίνῳ
Ἰάσον' ἔνδον τέγει, καὶ ἔπειτεν Ἀσκλαπιόν,
τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·
νύμφευσε δ' αὖτις ἀγλαόκολπον
Νηρέος θύγατρα, γόνον τέ οἱ φέρτατον
ἀτίταλλεν ⟨ἐν⟩ ἀρμένοισι πᾶσι θυμὸν αὔξων·

ἐπ. γ′ ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς
ὑπὸ Τροΐαν δορίκτυπον ἀλαλὰν Λυκίων
τε προσμένοι καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ ἐγχεσφόροις ἐπιμείξαις

41 ψεφεννὸς Porson: ψεφηνὸς codd. ἀτρεμεῖ D: ἀτρεκέϊ E. Schmid 43 ἀχιλλεὺς codd., corr. Morel 45 ἴσον τ' ἀνέμοισιν BDV, corr. Beck 46 ἐν μάχᾳ BDV, corr. Tricl. ἔπρασσε BDV, corr. Mosch. 47 σώματα $D^{pc}V^{cl}$: σώματι $D^{ac}$: σωμάτια $B^{cl}$ 48 ἀσθμαίνοντι κόμιζεν Tricl., E. Schmid: ἀσθμαίνων ἐκόμιζεν Hartung 49 τ' ἔπειτεν Boeckh, Hartung 50 ἐθάμβευν BV: ἐν θάμβευν D: corr. Mosch. 52 προτέρων $B^{s}V^{s}$: πρότερον $B^{l}DV^{l}$ 53 βαθυδμῆτα $BD^{ac}$ χείρων codd., corr. Schroeder λιθίνῳ γ' BV 54 ἔπειτεν $D^{pc}V$: ἔπειτον $BD^{ac}$ ἀσκληπιόν codd., corr. Schroeder 55 μαλθακόχειρα BDV, corr. Byz. 56 αὖθις codd., corr. Boeckh ἀγλαόκολπον $B^{l}$: ἀγλαόκαρπον $B^{s}$: ἀγλαόκαρνον $V^{l}$: ἀγλαόκρανον $D^{lit}$ 57 νηρέως B 58 ἐν suppl. E. Schmid 59 θαλασσίων Mosch. 60 τροίαν BD: τρώϊαν V δορύκτυπον D 61 ἐγχεσιφόροις B ἐπιμείξαις D: ἐπιμείξας V: ἐπιμίξας B

Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πά-
ξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

στρ. δ' τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·
Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν
ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.
βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει,
ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον. ἐν δὲ πείρᾳ τέλος
διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται,

ἀντ. δ' ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον
ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷον ἔχομεν
βρότεον ἔθνος· ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
ὁ θνατὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον.
τῶν οὐκ ἄπεστι· χαῖρε, φίλος· ἐγὼ τόδε τοι
πέμπω μεμειγμένον μέλι λευκῷ
σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει,
πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,

ἐπ. δ' ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος,
δαφοινὸν ἄγραν ποσίν·
κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου λήματος ἕνεκεν
Νεμέας Ἐπιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος.

62 χεῖρας] κῆρας Jacobs 65 ὕμνον D 67 βοᾷ γρ. scholl. 68 εὐκλεεῖ BDV, corr. Mosch. 72 ἐν δ' ἀνδράσιν codd. (ἐν om. V), corr. Hermann τρίτατον DV : τρίτατος B : corr. Byz. 73 ἕκαστος Bergk 75 ὁ suppl. Tricl. θνατὸς B Aristarchus : μακρὸς DV αἰών DV : ἐών B 76 ἄπεσσι Bergk 77 μεμιγμένον codd., corr. Schroeder 79 πομ'] στόμ' Bergk αἰολίσιν BDV, corr. Boeckh πνοαῖσιν V : πνοαῖς BD ἐν πνοαῖσι Λυδίαισιν Hecker 80 πετανοῖς D 81 τηλόθεν BDV, corr. Mosch. 82 κραυγέται ? Bergk 83 κλεὸς V : κλειοῦς B 84 δέδορκε BDV, corr. Byz.

## *ΝΕΜΕΑ IV*

## ΤΙΜΑΣΑΡΧΩΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ

στρ. α' Ἄριστος εὐφροσύνα πόνων κεκριμένων
ἰατρός· αἱ δὲ σοφαὶ
Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τέγγει
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

στρ. β' τό μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ
Τιμασάρχου τε πάλᾳ
ὕμνου προκώμιον εἴη· δέξαιτο δ' Αἰακιδᾶν
ἠΰπυργον ἕδος, δίκᾳ ξεναρκέϊ κοινὸν
φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἁλίῳ
σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
θαμά κε, τῷδε μέλει κλιθείς,
υἱὸν κελάδησε καλλίνικον

στρ. γ' Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων
πέμψαντα καὶ λιπαρᾶν
εὐωνύμων ἀπ' Ἀθανᾶν, Θήβαις τ' ἐν ἑπταπύλοις
οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον
Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν
ξένιον ἄστυ κατέδρακεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

3 θυγατέρες codd., corr. E. Schmid 4 τέγγει e Plutarchi *de Tranqu.* 6 Heyne: τεύχει codd.: τέγξει Postgate 7 ὅτι περ $B^{s}V$ 9 δὶ codd., corr. Boeckh 11 ὕμνον $D^{ac}$ 12 εὔπυργον codd., corr. E. Schmid: ὑψίπυργον Schroeder 16 υἱὸν Bergk: ὕμνον codd. 18 πέμψαντι Pauw 19 ἀθηνᾶν B: ἀθανῶν V τ' om. D 20 οὕνεκεν vett. (οὔ- V), corr. Tricl. 23 ξείνιον codd., corr. Tricl.

στρ. δ′ σὺν ᾧ ποτε Τροΐαν κραταιὸς Τελαμὼν
πόρθησε καὶ Μέροπας
καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ,
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
ἥροάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη
λόγον ὁ μὴ συνιείς· ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

στρ. ε′ τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς
ὧραί τ' ἐπειγόμεναι·
ἴϋγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

στρ. ϝ′ χαμαὶ πετοῖσαν. ἐμοὶ δ' ὁποίαν ἀρετὰν
ἔδωκε Πότμος ἄναξ,
εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

στρ. ζ′ ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται

25 τρωΐαν codd., corr. Morel καρτερὸς codd., corr. E. Schmid 29 ἥρωας codd., corr. Schroeder 30 τόσσους codd., corr. Tricl. 31 ξυνιείς vett., corr. Tricl. 36 καΐπερ Christ: καί περ codd.: κεΐπερ Bergk 37 ἐπιβουλίαις V δόξωμεν vett., corr. Tricl. 46 ὑπάρχει $B^1D^1$: ἀποικεῖ Rauchenstein 47 τελαμωνίδας V 49 ἀχιλλεὺς DV 51 Ἀπείρῳ Morel

Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρίαν Ἰαολκὸν
πολεμίᾳ χερὶ προστραχὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν.

στρ. η′ δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις
τέχναισι χρησάμενος.
τᾷ Δαιδάλου τε μαχαίρᾳ φύτευέ οἱ θάνατον
ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χίρων,
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμὰν
καὶ δεινοτάτων σχάσαις ὀδόντων

στρ. θ′ ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων.
εἶδεν δ' εὔκυκλον ἕδραν,
τὰν οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐς γένος αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότρεπε
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

στρ. ι′ Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων
κάρυξ ἑτοῖμος ἔβαν
Ὀλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,

53 ἰώνιον B 54 λατρείαν codd., corr. E. Schmid ἰαωλκὸν BD 55 χερὶ Tricl.: χειρὶ vett. προστραχὼν Postgate: προστραπὼν codd.: παρτραπὼν Hartung: προτραπὼν Heyne 57 Ἄκαστος Schroeder 58 χωσάμενος Mingarelli 59 δαιδάλῳ Didymus 62 θρασυμαχάνων Hermann: θρασυμαχᾶν codd. 64 καὶ Ahlwardt: τε codd. σχάσαις B: σχάσας DV 66 ἕδρας scholl. BD 67 τὰν Herwerden: τᾶς codd. 68 ἐξύφαναν Bury ἐς γένος Fulvius Ursinus: ἐς γενεὰς codd.: ἐγ γένος Wilamowitz: ἐγγενὲς Rittershuys: ἐς γέρας Pauw 70 Εὐρώπαν] Εὖρον ἂν Ahrens 77 νέον $D^{ac}$: νέον γ' Tricl. πάτραν ἵν' Hermann: πάτραν νιν $BD^{pc}$: πάτρανιν $D^{ac}$

Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις

στρ. ιαʹ στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
ὁ χρυσὸς ἑψόμενος
αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοις·

στρ. ιβʹ τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
ἑοῖς ἄεισε κ' ἐταῖς,
ἄλλοισι δ' ἅλικες ἄλλοι· τὰ δ' αὐτὸς ἀντιτύχῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

78 τεὰν] σὰν Hermann 87 ὃς ἐν Rauchenstein 88 κορινθίοισι vett., corr. Tricl. 90 ἑοῖς ἄεισέ κ' ἐταῖς Shackle: ὁ σὸς ἀείσεται, παῖ codd.: σὸς ἄεισέν ποτε, παῖ Hermann 91 ἀντιτύχῃ Mingarelli: ἄν τις τύχῃ codd.: ἄν τις ἴδῃ Hermann 93 στρέφοις Schroeder 95 μαλθακὰ codd., corr. E. Schmid

## *ΝΕΜΕΑ V*

## ΠΥΘΕΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗΙ

στρ. α΄ Οὐκ ἀνδριαντοποιός εἰμ᾽, ὥστ᾽ ἐλινύσοντα ἐργά-
ζεσθαι ἀγάλματ᾽ ἐπ᾽ αὐτᾶς βαθμίδος
ἑσταότ᾽· ἀλλ᾽ ἐπὶ πάσας
ὁλκάδος ἔν τ᾽ ἀκάτῳ, γλυκεῖ᾽ ἀοιδά,
στεῖχ᾽ ἀπ᾽ Αἰγίνας, διαγγέλλοισ᾽ ὅτι
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς
5 νίκη Νεμείοις παγκρατίου στέφανον,
οὔπω γένυσι φαίνων τερείνας
6b ματέρ᾽ οἰνάνθας ὀπώραν,

ἀντ. α΄ ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέν-
τας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων
Αἰακίδας ἐγέραιρεν
ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
τάν ποτ᾽ εὔανδρόν τε καὶ ναυσικλυτὰν
10 θέσσαντο, πὰρ βωμὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ᾽ ἐς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀριγνῶτες υἱοὶ
12b καὶ βία Φώκου κρέοντος,

ἐπ. α΄ ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια
13b τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν
14b ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
15 πῶς δὴ λίπον εὐκλέα νᾶσον,
15b καὶ τίς ἄνδρας ἀλκίμους

Carmen periit in V  2 πάσης vett., corr. Tricl.  3 ὅ τοι Tricl.  5 νίκη Heyne : νικῇ BD : νικῆ Tricl., Bergk  6 τερείνας Dreykorn : τέρειναν codd. 6b οἰνάνθαν ὀπώρας Pauw  7 νηρεΐδων vett., corr. Tricl.  8 ἐγέραρεν Rom.  ξείνων vett., corr. Tricl.  13 ὃν E. Schmid : τὸν codd.  14b τ᾽ οὐ μὴ Hermann : τι μὴ Hartung

δαίμων ἀπ' Οἰνώνας ἔλασεν.
στάσομαι· οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής·
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπῳ νοῆσαι.

στρ. β' εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆ-
σαι πόλεμον δεδόκηται, μακρά μοι
20 αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις· ἔχω γονάτων ὁρμὰν ἐλαφράν·
καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον
24b χρυσέῳ πλάκτρῳ διώκων

ἀντ. β' ἁγεῖτο παντοίων νόμων· αἱ δὲ πρώτιστον μὲν ὕμνη-
σαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
26 Πηλέα θ', ὥς τέ νιν ἁβρὰ
Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε ξυνᾶνα Μαγνήτων σκοπὸν
πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
30 ὡς ἦρα νυμφείας ἐπείρα
30b κεῖνος ἐν λέκτροις Ἀκάστου

ἐπ. β' εὐνᾶς· τὸ δ' ἐναντίον ἔσκεν·
31b πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν.

16 ἀποινώσας Ald. 17 ἀτρεκές e scholl. Bergk 19 χερῶν Tricl. σιδηρίταν codd., corr. Heyne 20 ἔχω Tricl. : ἔξω vett. γουνάτων vett., corr. Tricl. ἐλαφρὰν ὁρμάν codd., transp. Turyn 22 κἀκείνοις codd., corr. Boeckh ἄειδ' ἐν Pauw : ἀείδει codd. : ἄειδεν E. Schmid 23 μέσαις E. Schmid : μέσσαις B : μοίσσαις D 26 κρηθηΐς codd., corr. Heyne 27 ξυνεῦνα B 29 συνέπλεξε D 30 ἦρα Schroeder : ἄρα codd. : ἆρα Boeckh : δὴ ἄρα Wackernagel 30b ἀκάστα D 31b νιν Mommsen : μιν codd.

32b τοῖο δ' ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·
εὐθὺς δ' ἀπανάνατο νύμφαν,
33b ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ' εὖ φράσθη κατένευ-
σέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
ποντίαν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

στρ. γ' γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλει-
τὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα νιν εὔφρονες ἶλαι
σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
πότμος δὲ κρίνει συγγενὴς ἔργων πέρι
πάντων. τὺ δ' Αἰγίναθε δίς, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πίτνων
42b ποικίλων ἔψαυσας ὕμνων.

ἀντ. γ' ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως ⟨σ'⟩ ἀγάλλει
κείνου ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν
μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ' ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου
48b σὺν τύχᾳ μόχθων ἀμοιβὰν

ἐπ. γ' ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν
49b τέκτον' ἀεθληταῖσιν ἔμμεν·

32b τοῦ δὲ ὀργὰν codd., corr. Hermann 36 ποντιᾶν Heyne ποντιᾶν χρυσαλάκατον Mair πράξον D 38 μιν codd., corr. Mommsen 40 συγγενὲς D 41 Αἰγίναθε δίς E. Schwartz : Αἰγίνᾳ θεᾶς codd. : Αἰγίνᾳ θοός Mair 43 μεταίξας τε Benedictus σ' suppl. Bergk Πυθέα Mingarelli : πυθέας codd. 45 ἐλθόντας] ἔρδοντας ? Christ τε κράτει B : τε κρατεῖ D : corr. Boeckh : τ' ἐκράτεις Kayser

50 εἰ δὲ Θεμίστιον ἵκεις
50b ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι
φωνάν, ἀνὰ δ' ἱστία τεῖνον
51b πρὸς ζυγὸν καρχασίου,
πύκταν τέ νιν καὶ παγκρατίῳ
φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ
ἀνθέων ποιαέντα φέρε στεφανώ-
ματα σὺν ξανθαῖς Χάρισσιν.

50b δίδοι Hermann: δίδου codd. 52 πύκτα D παγκρᾰτίου D τριπλόαν B
54 φέρε Wilamowitz : φέρειν codd. χάρισιν codd., corr. E. Schmid

# *ΝΕΜΕΑ VI*

## ΑΛΚΙΜΙΔΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ

στρ. α΄ Ἓν ἀνδρῶν,
1b ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος
ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν
5 νόον ἤτοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας
6b ἄμμε πότμος
ἅντιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

ἀντ. α΄ τεκμαίρει
8b καὶ νῦν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρούραισιν, αἵτ' ἀμειβόμεναι
10 τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν
ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων Διόθεν αἶσαν
13b νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,

ἐπ. α΄ ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
16 πατροπάτορος ὁμαιμίοις.
κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
ἔρνεα πρῶτος ⟨ἔνεικεν⟩ ἀπ' Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος,

1–32 perierunt in V 2 *ματρὸς*] *γαστρὸς* codd. Stob. ii. 7. 13, p. 121 Wachsmuth 3 *αἰεὶ* codd., corr. Hermann 6 *κατὰ νύκτας* Pauw 6b *ἄμμι* Tricl. 7 *ἄν τιν'* vett., corr. Tricl.: *οἵαν τιν'* Hermann 8b *δὲ καὶ νῦν* vett., corr. Pauw 10 *ἄνδρεσσιν* codd., corr. Hermann 13b *νῦν τε πέφαντ'* vett., corr. Tricl. 16 *ὁμαιμίοις* Schroeder: *ὁμαιμίου* codd.: *ὁμαισίου* Rauchenstein: *ὁμαίμονος* Hecker 18 *ἔνεικεν* suppl. Bergk: *ἔτοσσεν* Bury: *ἔδειξεν* Mair 19 *ἰσθμῷ* B: *ἰσθμοιῷ* D: corr. Tricl.

20 Νεμέᾳ δὲ τρεῖς, ἔπαυσε λάθαν
Σαοκλείδα', ὃς ὑπέρτατος
'Αγησιμάχοι' ὑέων γένετο.

στρ. β' ἐπεί οἱ
23ᵇ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς
ἦλθον, οἵ τε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ
25 ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο
πυγμαχία ⟨πλεόνων⟩
ταμίαν στεφάνων μυχῷ 'Ελλάδος ἁπάσας. ἔλπομαι
μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν
ὥτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα,
28ᵇ οὖρον ἐπέων
εὐκλέα· παροιχομένων γὰρ ἀνέρων

ἀντ. β' ἀοιδαὶ
30ᵇ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν·
Βασσίδαισιν ἅ τ' οὐ σπανίζει, παλαίφατος γενεά,
ἴδια ναυστολέοντες ἐπικώμια,
Πιερίδων ἀρόταις
δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων
ἕνεκεν. καὶ γὰρ ἐν ἀγαθέᾳ
35 χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν ἀπὸ ταύτας
35ᵇ αἷμα πάτρας
χρυσοπλοκάμου ποτὲ Καλλίας ἅδων

ἐπ. β' ἔρνεσι Λατοῦς, παρὰ Κασταλίᾳ τε Χαρίτων
ἑσπέριος ὁμάδῳ φλέγεν·

21 σωκλείδα codd., corr. Wilamowitz 22 'Αγησιμάχοι' P. Maas : ἀγησιμάχῳ codd. ὑέων W. Schulze : υἱῶν vett. ἐγένετο vett., corr. Tricl. 25 πλεόνων suppl. e scholl. E. Schmid 27 σκοποῦ ἄντα τυχεῖν Mingarelli : ἄντα σκοποῦ τετυχεῖν B : ἄντα σκοποῦ τυχεῖν D 28 εὐθὺν codd., corr. E. Schmid 29 εὐκλέα· παροιχομένων codd. : ἐϋκλε'· ἀποιχομένων E. Schmid 30–30ᵇ ἀοιδαὶ καὶ λόγοι Pauw : ἀοιδοὶ καὶ λόγιοι codd. 31 Βουδίδαισιν Didymus 33 παρέχει V 35 ἱμαντωθεὶς vett., corr. Tricl. 36 χρυσοπλοκάμου Hermann : χρυσαλακάτου codd. ἁδῶν Dᵖᶜ : ἀδὼν V : ᾄδων BDᵃᶜ : corr. Byz. 37 κασταλίαν V : κασταλία BD : corr. Byz.

πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων
ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
τίμασε Ποσειδάνιον ἂν τέμενος·
βοτάνα τέ νίν ποθ' ἁ λέοντος
νικῶντ' ἤρεφε δασκίοις
Φλειοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.

στρ. γ' πλατεῖαι
πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι
νᾶσον εὐκλέα τάνδε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀπο-
δεικνύμενοι μεγάλας,
πέτεται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν
ὄνυμ' αὐτῶν· καὶ ἐς Αἰθίοπας
Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλτο· βαρὺ δέ σφιν
νεῖκος Ἀχιλεὺς
ἔμπεσε χαμαὶ καταβὰς ἀφ' ἁρμάτων,

ἀντ. γ' φαεννᾶς
υἱὸν εὖτ' ἐνάριξεν Ἀόος ἀκμᾷ
ἔγχεος ζακότοιο. καὶ ταῦτα μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗρον· ἕπομαι δὲ καὶ
αὐτὸς ἔχων μελέταν·
τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων
λέγεται παντὶ μάλιστα δονεῖν
θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος
ἄγγελος ἔβαν
πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων

39 ἀμφικτυόνων D 43 νικῶντ' ἤρεφε Hermann: νικάσαντ' ἔρεψε codd. 44 φλιοῦντος codd., corr. Schroeder. Hic terminatur cod. V 46 σφισιν vett., corr. Byz. 49 ὄνομ' codd., corr. Beck 50 οὐκ ἂν vett., corr. Tricl. ἀπονοστάσαντος codd., corr. Ahrens $50^b$–51 Ἀχιλεὺς ἔμπεσε Hermann: ἔμπεσ' ἀχιλ(λ)εὺς codd. 51 καταβὰς Dissen: καμβὰς B: καββὰς D $52^b$ ἐνάριξεν D: ἐνάριζεν B Ἀόος ἀκμᾷ E. Schmid: ἀοῦς αἰχμᾷ codd. 55 ἀεὶ vett., corr. Byz. 56 παντὶ $B^b$, om. B: παντιὸς D $57^b$ βᾶν Hermann

ἐπ. γ' εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς·
'Αλκιμίδα, τὺ δ' ἐπάρκεσας
κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου πὰρ τεμένει,
παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν
κλᾶρος προπετὴς ἄνθε' 'Ολυμπιάδος.
δελφῖνί κεν τάχος δι' ἅλμας
ἰσάζοιμι Μελησίαν
χειρῶν τε καὶ ἰσχύος ἁνίοχον.

60 'Αλκιμίδα E. Schmid : ἀλκιμίδας codd. τὺ δ' ἐπάρκεσας scripsi : τό γ' ἐπάρκεσε codd. : τέ γ' ἐπαρκέσαι P. Maas 62 πολυτιμίδα D 64 κε vett., corr. Tricl. δ' ἁλμὰς B 65 ἰσάζοιμι Postgate : ἶσον εἴποιμι codd. : εἰκάζοιμι Bergk

# *NEMEA VII*

## ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩΙ

στρ. α′ Ἐλείθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων,
παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας, γε-
νέτειρα τέκνων· ἄνευ σέθεν
οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα·
εἴργει δὲ πότμῳ ζυγένθ' ἕτερον ἕτερα. σὺν δὲ τὶν
καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις.

ἀντ. α′ πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι σύμπειρον
ἀγωνίᾳ θυμὸν ἀμφέπειν.
εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν
ῥοαῖσι Μοισᾶν ἐνέβαλε· καὶ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι·
ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς.

ἐπ. α′ σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
ἔμαθον, οὐδ' ὑπὸ κέρδει βλάβεν·
ἀφνεὸς πενιχρός τε θανάτου πέρας
ἅμα νέονται. ἐγὼ δὲ πλέον' ἔλπομαι
λόγον Ὀδυσσέος ἢ πάθαν
διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον·

1 ἐλείθυια Tricl. : εἰλείθυια vett. πάρεδρος D 2 τέκνον D 3 εὐφροσύναν D 4 τεὰν ἀδελφεὰν ἐλάχομεν D : τεὰν ἐλάχομεν ἀδελφεὰν B 5 ἐπὶ ἴσα Tricl. : ἐπ' ἴσα BD 6 πότμος D ζυγένθ' E. Schmid : ζυγόν θ' BD 8 εὔδοξος B : ἔνδοξος D πενταέθλοις Tricl. : πεντάθλοις BD 9 δορικτύπων B[s] : δορύκτυπον D : δορίκτυπον B[1] 12 ἐνέβαλε e scholl. Hermann : ἔβαλε BD καὶ Wilamowitz : ταὶ codd. 13 δέομαι D 15 Μναμοσύνας Boeckh : μνημοσύνας codd. 16 εὕρηταί τις codd., corr. Hermann ἀοιδαῖσι B 18 βλάβεν B : λάβεν D 19 ἀφνεὸς Tricl. : ἀφνεός τε BD 19–20 πέρας ἅμα Wieseler : παρὰ σᾶμα codd. : πάρος ἅμα Bury : πέλας ἅμα Hartung 20 πλέον' E. Schmid : πλέον codd.

στρ. β′ ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ ⟨τε⟩ μαχανᾷ
σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπτει παρ-
άγοισα μύθοις· τυφλὸν δ᾿ ἔχει
ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
ἓ τὰν ἀλάθειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς
ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
λευρὸν ξίφος· ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ
ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς
ἂν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ

ἀντ. β′ πρὸς Ἴλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται
κῦμ᾿ Ἀΐδα, πέσε δ᾿ ἀδόκητον ἐν καὶ δο-
κέοντα· τιμὰ δὲ γίνεται
ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων.
βοαθοῶν τοι παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
μόλεν χθονός—ἐν Πυθίοισι δὲ δαπέδοις
κεῖται—Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν,
τᾷ καὶ Δαναοὶ πόνησαν· ὁ δ᾿ ἀποπλέων
Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ᾿ εἰς Ἐφύραν ἵκοντο.

ἐπ. β′ Μολοσσίᾳ δ᾿ ἐμβασίλευεν ὀλίγον
χρόνον· ἀτὰρ γένος αἰεὶ φέρει
τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς θεὸν
κτέατ᾿ ἄγων Τρωΐαθεν ἀκροθινίων·
ἵνα κρεῶν νιν ὕπερ μάχας
ἔλασεν ἀντιτυχόντ᾿ ἀνὴρ μαχαίρᾳ.

22 ψεύδεσσι B τε suppl. Hermann 25 ἓ τὰν Boeckh: ἐὰν BD: ἐτὰν Bergk: ἐτεὰν Hartung ἰδέμεν E. Schmid: εἰδέμεν codd. 26 ἔσπαξε D 27 ἀχιλλέως BD, corr. Tricl. 29 ἐν ναυσὶ Tricl. εὐθυπόρου B πομπαὶ D: πνοαὶ B 30 πρὸς ἴλου πόλιν bis leguntur in B 31 ἀΐδαο codd., corr. ed. Oxon. 1697 32 ἁβρὸν B: αὐρὸν D 33 βοαθόων BD, corr. Farnell: βοαθόον Hermann παρὰ e scholl. Hermann: γὰρ BD 34 μόλεν E. Schmid: ἔμολε̄ B: ἔμολε D: μόλον e scholl. Hermann 34–5 interpunxit Farnell 35 πριάμοιο D Tricl. πράθε D 37 ἵκοντο δ᾿ εἰς Ἐφύραν πλαγχθέντες codd., corr. Boeckh 38 ἐνβασίλευεν BD, corr. Tricl. 39 φέρει D: φέρεν B 41 κτέατ᾿ D: κτέαν᾿ B ἄγων B: ἀνάγων D τρωΐαθεν codd., corr. E. Schmid 42 ὑπὲρ codd., corr. E. Schmid

στρ. γ′ βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχρῆν δέ
τιν᾽ ἔνδον ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
θεοῦ παρ᾽ εὐτειχέα δόμον, ἡροΐαις δὲ πομπαῖς
θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις.
εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει·
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ,
Αἴγινα, τεῶν Διός τ᾽ ἐκγόνων. θρασύ μοι τόδ᾽ εἰπεῖν

ἀντ. γ′ φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ
γλυκεῖα ἔργῳ· κόρον δ᾽ ἔχει
καὶ μέλι καὶ τὰ τέρπν᾽ ἄνθε᾽ Ἀφροδίσια.
φυᾷ δ᾽ ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες,
ὁ μὲν τά, τὰ δ᾽ ἄλλοι· τυχεῖν δ᾽ ἕν᾽ ἀδύνατον
εὐδαιμονίαν ἅπασαν ἀνελόμενον· οὐκ ἔχω
εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
ὤρεξε. Θεαρίων, τὶν δ᾽ ἐοικότα καιρὸν ὄλβου

ἐπ. γ′ δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ
σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν.
ξεῖνός εἰμι· σκοτεινὸν ἀπέχων ψόγον,
ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ᾽ ἄγων
κλέος ἐτήτυμον αἰνέσω·
ποτίφορος δ᾽ ἀγαθοῖσι μισθὸς οὗτος.

στρ. δ′ ἐὼν δ᾽ ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ᾽ ἀνὴρ
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων· προ-
ξενίᾳ πέποιθ᾽· ἔν τε δαμόταις
ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβαλών,

43 περισσὰ δὲ codd., corr. E. Schmid 46 ἡρωΐαις codd., corr. Schroeder 47 πολυθύτης D 49 μάρτυς B[1]D : μάντις B[s] 56 οὐδ᾽ ἔχω E. Schmid 59 ἀραμένῳ codd., corr. Hermann 60 σύνεσις codd., corr. Hermann 61 εἰμ᾽· ἀπέχων σκοτεινὸν Hartung 62 ἐς B : ὡς D 63 ποτίφρος D 65 καὶ προξενίᾳ codd., corr. Hermann πέποιθέ τε (om. ἔν) D 66 ὑπερβαλών E. Schmid : ὑπερβάλλων codd.

βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων
ποτὶ χρόνος ἕρποι. μαθὼν δέ τις ἀνερεῖ,
εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων.
Εὐξένιδα πάτραθε Σώγενες, ἀπομνύω
μὴ τέρμα προβὰς ἄκονθ᾽ ὥτε χαλκοπάραον ὄρσαι

ἀντ. δ′ θοὰν γλῶσσαν, ὃς ἐξέπεμψεν παλαισμάτων
αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι
πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.
εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.
ἔα με· νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς
ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν.
εἴρειν στεφάνους ἐλαφρόν· ἀναβάλεο· Μοῖσά τοι
κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ᾽ ἁμᾷ
καί λείριον ἄνθεμον ποντίας ὑφελοῖσ᾽ ἐέρσας.

ἐπ. δ′ Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ
πολύφατον θρόον ὕμνων δόνει
ἡσυχᾷ. βασιλῆα δὲ θεῶν πρέπει
δάπεδον ἂν τόδε γαρυέμεν ἁμέρᾳ
ὀπί· λέγοντι γὰρ Αἰακόν
νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

στρ. ε′ ἐᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,
Ἡράκλεες, σέο δὲ προπράον᾽ ἔμεν ξεῖνον
ἀδελφεόν τ᾽. εἰ δὲ γεύεται
ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον᾽ ἔμμεναι
νόῳ φιλήσαντ᾽ ἀτενέϊ γείτονι χάρμα πάντων

67 βία D[1] 68 ἂν ἐρεῖ codd., corr. Gildersleeve 70 εὐξενίδα codd., corr. Hermann ὑπομνύω Bergk 71 ὥτε Boeckh: ὡσείτε BD: ὥστε Tricl. 72 ἐξέπεμψεν Boeckh: ἐξέπεμψας B: ἐξέπεμψε D: ἔκ σ᾽ ἔπεμψεν Bury 75 interpunxit Hermann περ ἂν codd., corr. Hermann 77 interpunxit Boeckh ἀναβάλλεο BD, corr. Tricl. 81 πολυφάτων Tricl. ὕμνων θρόον B: ὕμνον θρόον D: corr. E. Schmid 82 ἡσυχῆ codd., corr. Schroeder 83 ἁμέρᾳ Hermann: θαμερᾶ B: θεμερᾶ D 84 μιν codd., corr. Boeckh ματροδόκοισι BD, corr. Tricl. 85 ἐᾷ Hermann: ἐμᾶ(ᾷ) codd.: τεᾷ Pauw: ὑμᾷ Heyne πολήαρχον D[ac] 86 προπρεῶνα μὲν codd., corr. Jurenka, Schroeder γεύεται B[s]D Aristarchus: δεύεται B[1] 87 ἔμμεναι Tricl.: ἔμμεν BD 88 ἀτενεῖ codd., corr. Hermann

ἐπάξιον· εἰ δ' αὐτὸ καὶ θεὸς ἀνέχοι,
ἐν τίν κ' ἐθέλοι, Γίγαντας ὃς ἐδάμασσας, εὐτυχῶς
ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐϋκτήμονα ζαθέαν ἄγυιαν.

ἀντ. ε'
ἐπεὶ τετραόροισιν ὥθ' ἁρμάτων ζυγοῖς
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφο-
τέρας ἰὼν χειρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥρας πόσιν πειθέμεν
κόραν τε γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
εἰ γὰρ σύ ἱν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ

ἐπ. ε'
γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν.
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι
ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας "Διὸς Κόρινθος".

89 αὐτὸς καὶ B^ac ἀνέχοι Thiersch : ἂν ἔχοι codd. 90 ἐδάμασας BD, corr. Tricl. 93 ὦθ' D : ὥσθ' B 94 τεμένεσσι recc. : τεμένεσι BD χειρός D : χερός B 95 ἥραν codd., corr. Bothe 97 δυσβά D 98 σύ ἱν P. Maas : σφιν BD : σφισιν Tricl. 99 γήρᾳ(α) codd., corr. E. Schmid 101 ὄπισθε(ν) codd., corr. Morel 104 ἔπεσι D : ἔπεσσιν B ταῦτα codd., corr. e scholl. Boeckh τετράκις codd., corr. E. Schmid 105 μαψυλάκαις Schneider

## *ΝΕΜΕΑ VIII*

### ΔΕΙΝΙΑΙ ΑΙΓΙΝΗΤΗΙ ΔΙΑΥΛΟΔΡΟΜΩΙ

στρ. α΄ Ὥρα πότνια, κάρυξ Ἀφροδίτας
1b ἀμβροσιᾶν φιλοτάτων,
ἅ τε παρθενηΐοις παίδων τ᾽ ἐφίζοισα γλεφάροις,
τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστά-
ζεις, ἕτερον δ᾽ ἑτέραις.
ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον
τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι.

ἀντ. α΄ οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον
6b ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ᾽ υἱὸς Οἰνώνας βασιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος. πολλά νιν πολ-
λοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων
ἤθελον κείνου γε πείθεσθ᾽ ἀναξίαις ἑκόντες,

ἐπ. α΄ οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν,
οἵ τ᾽ ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ᾽ ὑπὲρ φίλας
ἀστῶν θ᾽ ὑπὲρ τῶνδ᾽ ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχαδὰ πεποικιλμέναν,
Δείνιος δισσῶν σταδίων
καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς
17b ὄλβος ἀνθρώποισι παρμονώτερος·

1b ἀμβροσιῶν D  2 παρθενηΐοισι B : παρθενίοισι D : corr. Hermann  βλεφάροις codd., corr. Boeckh  3 ἁμάρας D  ἀνάγκαις Hermann  6b ποιμένος D  7 ἔβλαστε codd., corr. Morel  9 κἀβοατὶ BD, corr. Tricl.  10 ἂν ἀξίαις codd., corr. Beck  12 σπάρτην BD, corr. Byz.  πελοπηΐδαι codd., corr. Brubach  14 φέρων] φίλων D  15 καναχηδὰ codd., corr. Bergk  16 δείνιδος Tricl.  νέμειον codd., corr. Pauw

στρ. β′ ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ
18b ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.
20 πολλὰ γὰρ πολλᾷ λέλεκται, νεαρὰ δ' ἐξευ-
ρόντα δόμεν βασάνῳ
ἐς ἔλεγχον, ἅπας κίνδυνος· ὄψον δὲ λόγοι φθονεροῖσιν,
ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει.

ἀντ. β′ κεῖνος καὶ Τελαμῶνος δάψεν υἱόν,
23b φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει
25 ἐν λυγρῷ νείκει· μέγιστον δ' αἰόλῳ ψεύ-
δει γέρας ἀντέταται.
κρυφίαισι γὰρ ἐν ψάφοις 'Οδυσσῆ Δαναοὶ θεράπευσαν·
χρυσέων δ' Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.

ἐπ. β′ ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροῒ
ἕλκεα ῥῆξαν πελεμιζόμενοι
30 ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων ἐν πολυφθόροις
ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,
αἱμύλων μύθων ὁμόφοι-
τος, δολοφραδής, κακοποιὸν ὄνειδος·
ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
34b τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

στρ. γ′ εἴη μή ποτέ μοι τοιοῦτον ἦθος,
35b Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις
36 ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος

18 ὥσπερ D 18b ποντίω D 19 ἀναπνέων D 20 γὰρ πολλᾷ Pauw : γὰρ πολλὰ codd. : γὰρ πολλοῖς E. Schmid 23b ἀμφικυλίσσαις codd., corr. Boeckh 24 λάθαν D 24–5 κατέχει ἐν λυγρῷ Hermann : κατέχει τε λυγρῷ B : κατέχειν λυγρῷ D 25 ἀντέτακται D 26 ψάθοις D 27 ὅπλαν D 28 δαίοισιν codd., corr. Hermann 29 πελεμιζόμενοι Wakefield : πολεμιζόμενοι codd. 30 ἀλεξιβρότῳ D 31 πολυφθόροισιν ἐν codd., corr. Boeckh 33 αἱμυλίων BD, corr. Tricl. δμόφυτος B 36 ἐφαπτοίμην B

μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχον-
ται, πεδίον δ' ἕτεροι
ἀπέραντον, ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαι,
αἰνέων αἰνητά, μομφὰν δ' ἐπισπείρων ἀλιτροῖς.

ἀντ. γ' αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις
40b ὡς ὅτε δένδρεον οἶνας,
41 ⟨ἐν⟩ σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀν-
δρῶν· τὰ μὲν ἀμφὶ πόνοις
ὑπερώτατα, μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι
πιστόν. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι

ἐπ. γ' οὔ μοι δυνατόν· κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος·
46 σεῦ δὲ πάτρᾳ Χαριάδαις τ' ἐλαφρὸν
ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοιδαῖς δ' ἀνὴρ
50 νώδυνον καί τις κάματον
θῆκεν· ἦν γε μὰν ἐπικώμιος ὕμνος
δὴ πάλαι καὶ πρὶν γενέσθαι
51b τὰν 'Αδράστου τάν τε Καδμείων ἔριν.

37 χρυσὸν δ' B  38 καλύψαι Wackernagel : καλύψαιμ' codd.  40 αὔξονται δ' ἀρεταὶ E. Schmid  40b δένδρεον οἶνας Bury : δένδρεον ἀΐσσει codd. : δενδρέου ἔρνος Schroeder : δένδρεον ᾄσσει Boeckh  41 ἐν suppl. Boeckh  44 πιστόν e scholl. Mommsen : πιστά B : πίσταν D : πίστιν Tricl.  46 Χαριάδαισι? Heyne  τ' ἐλαφρὸν Bergk : τέ λαβρον D : τελαῦρον B : τε λευρὸν Herwerden  47 ὑπερείσω Hermann  ποδῶν] δρόμων Rauchenstein  49 εἵνεκ' ἔργων Hartung

# *ΝΕΜΕΑ ΙΧ*

## ΧΡΟΜΙΩΙ ΑΙΤΝΑΙΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Κωμάσομεν παρ᾽ Ἀπόλλωνος Σεκυωνόθε, Μοῖσαι,
τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ᾽ ἀναπεπταμέναι ξεί-
νων νενίκανται θύραι,
ὄλβιον ἐς Χρομίου δῶμ᾽.
ἀλλ᾽ ἐπέων γλυκὺν ὕμνον πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ᾽ ἀναβαίνων
ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

στρ. β′ ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν
μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ᾽ ἐπέων καύ-
χας ἀοιδὰ πρόσφορος.
ἀλλ᾽ ἀνὰ μὲν βρομίαν φόρ-
μιγγ᾽, ἀνὰ δ᾽ αὐλὸν ἐπ᾽ αὐτὰν ὄρσομεν
ἱππίων ἀέθλων κορυφάν, ἅ τε Φοίβῳ
θῆκεν Ἄδραστος ἐπ᾽ Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ
μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,

στρ. γ′ ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ᾽ ἑορταῖς
ἰσχύος τ᾽ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμ-
φαινε κυδαίνων πόλιν.
φεῦγε γὰρ Ἀμφιαρῆ πο-
τε θρασυμήδεα καὶ δεινὰν στάσιν
πατρίων οἴκων ἀπό τ᾽ Ἄργεος· ἀρχοὶ
δ᾽ οὐκ ἔτ᾽ ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.

1 *σικυωνόθε(ν)* codd., corr. Schroeder 2 *ἐς* D : *εἰς* B 3 *πράσσεται* D[llt] 7 *καύχαις* Benedictus 8 *ἐπ᾽ αὐτὸν ὄρσωμεν* codd., corr. Morel 9 *ἱππείων* codd., corr. Hermann 13 *Ἀμφιαρῆ* Schroeder : *ἀμφιάρηόν* BD *ποτε* B : *τε* D 14 *πατρίων* E. Schmid : *πατρώων* vett.

στρ. δ' ἀνδροδάμαν δ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,
δόντες Οἰκλεΐδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν ἤ-
σαν μέγιστοι . . .
καί ποτ' ἐς ἑπταπύλους Θή-
βας ἄγαγον στρατὸν ἀνδρῶν αἰσιᾶν
οὐ κατ' ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων
ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους
στείχειν ἐπώτρυν', ἀλλὰ φείσασθαι κελεύθου.

στρ. ε' φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσμη-
νοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν
νόστον ἀμερσάμενοι λευκ-
ανθέα σώμασι πίαναν καπνόν·
ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους
φῶτας· ὁ δ' Ἀμφιαρεῖ σχίσσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ' ἅμ' ἵπποις,

στρ. ϝ' δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις φεύ-
γοντι καὶ παῖδες θεῶν.
εἰ δυνατόν, Κρονίων, πεῖ-
ραν μὲν ἀγάνορα Φοινικοστόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζω-
ᾶς ἀναβάλλομαι ὡς πόρσιστα, μοῖραν δ' εὔνομον
αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,

στρ. ζ' Ζεῦ πάτερ, ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμεῖξαι
λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυ-
χὰς ἔχοντες κρέσσονας

16 ἀνδροδάμαντ' B : ἀνδρομάδαν τ' D : corr. Schneidewin 17 ἔσσαν Boeckh in lacuna suppl. δὴ τόθεν Boeckh, τουτάκι Rauchenstein : fortasse δεσπόται Mair 18 αἰσιῶν B, om. D, corr. Tricl. 20 κελεύθου] 'κέλευσε Hartmann 23 ἀμερσάμενοι Schroeder : ἐρεισάμενοι BD[ls] : ἐρυσάμενοι DD[ll] : ἐρισσάμενοι Farnell : ἐρευσάμενοι Robertson : Ἄρει θέμενοι Mair σώμασιν ἐπίαναν BD, corr. Kayser : σώματ' ἐπίαναν Hermann 24 νεογήους D ἀμφιάρηϊ codd., corr. Schroeder 25 τὰν] γᾶς Hecker 28 φοινικοστόλον D 29 ταύταν] τακτὰν Wilamowitz 31 ὦ ζεῦ D 32 ἔχοντες] ἔχοντι ? Bergk

ἄνδρες. ἄπιστον ἔειπ'. αἰ-
δὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπί-
ζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις
ἔκρινας, ἂν κίνδυνον ὀξείας ἀϋτᾶς,

στρ. η' οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦ-
ροι δὲ βουλεῦσαι φόνου
παρποδίου νεφέλαν τρέ-
ψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν
Ἕκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,

στρ. θ' ἔνθ' Ἀρέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τοῦθ' Ἁγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώ-
τᾳ· τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ χέρ-
σῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι.
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται
σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.

στρ. ι' εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκ ἔστι πρόσωθεν θνατὸν ἔτι σκοπιᾶς ἄλ-
λας ἐφάψασθαι ποδοῖν.
ἡσυχία δὲ φιλεῖ μὲν
συμπόσιον· νεοθαλὴς δ' αὔξεται
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ·
θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,

41 ἔνθ' Ἀρέας Bothe : ἔνθ' ἀρείας codd. : ἔνθα Ῥέας Boeckh  42 ἡμέραις vett., corr. Tricl.  44 δὲ οἳ vett., corr. Tricl.  47 οὐκ ἔστι πρόσωθεν E. Boehmer : οὐκέτι πόρσω B : οὐκ ἔστι πρόσω D : οὐκέτ' ἔστι πόρσω Rom.  49 κρητῆρι scholl. Lucian. *Conv.* 36  50 νιν Mommsen : μιν codd.

στρ. ια′ ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν
ἀμπέλου παῖδ᾽, ἅς ποθ᾽ ἵπποι κτησάμεναι Χρομίῳ πέμ-
ψαν θεμιπλέκτοις ἁμᾶ
Λατοΐδα στεφάνοις ἐκ
τᾶς ἱερᾶς Σεκυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
σὺν Χαρίτεσσιν, ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις
νίκαν, ἀκοντίζων σκοποῖ᾽ ἄγχιστα Μοισᾶν.

52 ἁμᾶ F. Vogt (ἅμα e scholl. E. Schmid): ἀμφὶ codd. 53 σικυῶνος codd., corr. Schroeder 54 τιμαλφοῖν D 55 νικᾶν codd., corr. Ceporinus σκοποῖ᾽ Ahrens: σκοποῦ codd.

# *ΝΕΜΕΑ Χ*

## ΘΕΑΙΩΙ ΑΡΓΕΙΩΙ ΠΑΛΑΙΣΤΗΙ

στρ. α′ Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντή-
κοντα κορᾶν, Χάριτες,
Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖ-
τε· φλέγεται δ᾽ ἀρεταῖς
μυρίαις ἔργων θρασέων ἕνεκεν.
μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·
πολλὰ δ᾽ Αἰγύπτοιο κατέκτιθεν ἄστη
ταῖς Ἐπάφου παλάμαις·
οὐδ᾽ Ὑπερμήστρα παρεπλάγχθη, μονό-
ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.

ἀντ. α′ Διομήδεα δ᾽ ἄμβροτον ξανθά ποτε Γλαυκ-
ῶπις ἔθηκε θεόν·
γαῖα δ᾽ ἐν Θήβαις ὑπέδεκτο κεραυνω-
θεῖσα Διὸς βέλεσιν
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·
καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·
Ζεὺς ἐπ᾽ Ἀλκμάναν Δανάαν τε μολὼν τοῦ-
τον κατέφανε λόγον·
πατρὶ δ᾽ Ἀδράστοιο Λυγκεῖ τε φρενῶν
καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·

ἐπ. α′ θρέψε δ᾽ αἰχμὰν Ἀμφιτρύωνος· ὁ δ᾽ ὄλβῳ φέρτατος
ἵκετ᾽ ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις
Τηλεβόας ἔναρεν· τῷ δ᾽ ὄψιν ἐειδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν,
σπέρμ᾽ ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ᾽ Ὄλυμπον

2 ὑμνεῖτε B : ὑμνεῖται D  3 ἕνεκε D  4 περσέως D : περσέ . . . (exesis litteris) B : corr. Tricl.  5 Αἰγύπτοιο κατέκτιθεν scripsi : αἰγύπτῳ κατῴκισθεν codd. : Αἰγύπτῳ τὰ κατέκτιθεν Mommsen : Αἰγύπτῳ καταοίκισεν P. Maas  6 ὑπερ-μνήστρα D  μονόψαφος e scholl. Hecker  κουλεῷ Hermann  8 βέλεσι B : βέλεϊ D  10 γυναιξὶ codd., corr. E. Schmid  11 ἀλκμήναν vett., corr. Tricl.  τοῦτον $B^1D^1$ : τὸν codd. : ἐτὸν Bergk  12 πατρὶ δ᾽ $D^1$ : πατρί τ᾽ BD  14 κείνου D : ἐκείνου B  15 ἔναρεν· τῷ δ᾽ Hermann : ἔναιρεν. τί οἱ B : ἔναρε. τί οἱ D

ἄλοχος Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ'
ἔστι, καλλίστα θεῶν.

στρ. β' βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀρ-
γεῖον ἔχει τέμενος
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώ-
πων βαρὺς ἀντιάσαι·
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φροντίδ'· ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥ-
ρας ἀέθλων τε κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔ-
σχεν Θεαῖος εὐφόρων λάθαν πόνων.

ἀντ. β' ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυ-
θῶνι, τύχᾳ τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοί-
σαισί τ' ἔδωκ' ἀρόσαι,
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ
οἱ στόμα. πὰν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ
προσφέρων τόλμαν παραιτεῖται χάριν.

ἐπ. β' γνώτ' ἀείδω οἷ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς. ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν· ἁδεῖαί γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων
ἕρκεσιν παμποικίλοις.

18 μητέρι B ἐστὶ codd., corr. E. Schmid 19 ἀργείων D 22 χάλκεον B[s] 24 οὐλία B : ἀλία D[1] νικήσαις B Θεαῖος Hermann : θειαῖος codd. εὐφρόνων B[s] 26 Μοίσαισιν Heyne 29 μὰν E. Schmid : μὲν codd. 31 οἷ Kayser: θεῷ(ῶ) codd. 32 ὕστατον D 33–4 ἁδείᾳ . . . ἐν τελετᾷ Anon. ap. scholl. 34 νιν Boeckh : μιν B : om. D 35 γαῖα δὲ καυθεῖσα D 36 ἕρκεσι codd., corr. Rom.

στρ. γ′ ἐφέπει δέ, Θεαῖε, ματρώων πολύγνω-
τον γένος ὑμετέρων
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ ⟨σὺν⟩
Τυνδαρίδαις θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε σύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προί-
τοιο τόδ' ἱπποτρόφον
ἄστυ θάλησεν Κορίνθου τ' ἐν μυχοῖς.
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

ἀντ. γ′ Σεκυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνη-
ραῖς φιάλαις ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶ-
τον μαλακαῖσι κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν—μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς—
ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν
ὑψίβατοι πόλιες
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ,
σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.

ἐπ. γ′ Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι. καὶ
μὰν θεῶν πιστὸν γένος.

37 ἐφέπει Bury : ἕπεται codd. : ἐπέβα Wilamowitz : δέκεται Rauchenstein θειαῖε codd., corr. Boeckh 38 χαρίτεσι D σὺν suppl. E. Schmid 41 νικαφορίαισι vett., corr. Tricl. 41–2 ἱπποτρόφον ἄστυ τὸ προίτοιο (θάλησεν) codd., corr. Boeckh 43 σικυωνόθεν codd., corr. Schroeder ἐπέβαν Ald. 46 ἐξελέγχει D 48 θῆκε Morel : ἔθηκε BD : θῆκεν Tricl. χειρῶν τε E. Schmid : τε χειρῶν τε B : τε χειρῶν D 49 πὰρ E. Schmid : παρὰ codd. 51 ἔμεν D

στρ. δ' μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν
μὲν παρὰ πατρὶ φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας
ἐν γυάλοις Θεράπνας,
πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
τοῦτον, ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ,
εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης
Κάστορος ἐν πολέμῳ.
τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολω-
θεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.

ἀντ. δ' ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγ-
κεὺς δρυὸς ἐν στελέχει
ἡμένους. κείνου γὰρ ἐπιχθονίων πάν-
των γένετ' ὀξύτατον
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν, καὶ μέγα ἔργον ἐμήσαντ' ὠκέως
καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητί-
δαι Διός· αὐτίκα γὰρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἔναν-
τα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·

ἐπ. δ' ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀΐδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' οὔ νιν φλάσαν
οὐδ' ἀνέχασσαν· ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
ἅμα δ' ἐκαίοντ' ἐρῆμοι. χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποις ὁμιλεῖν κρεσσόνων.

56 διτ codd., corr. Ceporinus τάν θ' D 57 ἀμπιμπλάντες D 60 βουσί vett., corr. Tricl. ἔτρωσε codd., corr. Morel ἀκμᾷ Pauw : αἰχμᾷ(α) codd. 61 πεδαυγάζων Tricl. : πόδ' αὐγάζων B : πέδ' αὖ γάζων D ἴδε D 62 ἡμένους Boeckh : ἥμενος vett. : ἥμενον Aristarchus : ἡμένος Didymus : ἡμένω Thiersch 63 πόδεσιν vett., corr. Tricl. 64 ἐμνήσατ' B : ἐμνήσαντ' D : corr. E. Schmid 66 Λήδας παῖς] παῖς Ζηνὸς ? Christ πατρώῳ(ω) codd., corr. E. Schmid 69 ἀνέχασσαν Wakefield : ἀνέχασαν B : ἀνέσχασαν D 72 ἁμᾶ δὲ κέοντ' codd., corr. Boeckh

στρ. ε′ ταχέως δ’ ἐπ’ ἀδελφεοῦ βίαν πάλιν χώ-
ρησεν ὁ Τυνδαρίδας,
καί νιν οὔπω τεθναότ’, ἄσθματι δὲ φρίσ-
σοντα πνοὰς ἔκιχεν.
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
ὄρθιον φώνησε· “Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν
τῷδ’ ἐπίτειλον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ
φωτί· παῦροι δ’ ἐν πόνῳ πιστοὶ βροτῶν

ἀντ. ε′ καμάτου μεταλαμβάνειν.” ὣς ἔννεπε· Ζεὺς δ’
ἀντίος ἤλυθέ οἱ,
καὶ τόδ’ ἐξαύδασ’ ἔπος· “Ἐσσί μοι υἱός·
τόνδε δ’ ἔπειτα πόσις
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
στάξεν ἥρως. ἀλλ’ ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ’· εἰ μὲν θάνατόν τε φυγὼν καὶ
γῆρας ἀπεχθόμενον
αὐτὸς Οὔλυμπον θέλεις ⟨ναίειν ἐμοὶ⟩
σύν τ’ Ἀθαναίᾳ κελαινεγχεῖ τ’ Ἄρει,

ἐπ. ε′ ἔστι τοι τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρναςαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ’ οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.”
ὣς ἄρ’ αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν,
ἀνὰ δ’ ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν
χαλκομίτρα Κάστορος.

74 μιν codd., corr. Mommsen φρίσσοντ’ ἀμπνοὰς B : φρίσσοντ’ ἀναπνοὰς D : corr. E. Schmid 75 δὴ E. Schmid : δὲ codd. 77 ἐπίτελλον B 79 ἔννεπε Heyne : ἤνεπε B : ἔνεπε D ἀντία B 82 στάξεν Pauw : ἔσταξεν vett. 84 ὄλυμπον vett., corr. Tricl. ναίειν ἐμοὶ suppl. Boeckh 85 σοι codd., corr. Schroeder 86 ἀποδάσασθαι codd., corr. E. Schmid 90 χαλκεομίτρα vett., corr. Tricl.

# *ΝΕΜΕΑ XI*

## ΑΡΙΣΤΑΓΟΡΑΙ ΤΕΝΕΔΙΩΙ ΠΡΥΤΑΝΕΙ

στρ. α′ Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας
οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον,

ἀντ. α′ πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις
ἐν τραπέζαις· ἀλλὰ σὺν δόξᾳ τέλος
δωδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ.

ἐπ. α′ ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἁγεσίλαν,
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλον,
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν,
θνατὰ μεμνάσθω περιστέλλων μέλη,
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.

στρ. β′ ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσιν ἐπαινεῖσθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελίζεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἓξ καὶ δέκ' Ἀρισταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.

Inscrip. om. BD 1 πρυτανεῖς D 2 κασιγνήτα D: κασιγνήτη B 4 ἀγλαῷ σκάπτῳ Tricl.: ἀγλαῶ σκάπτω BD πέλας D: πύλας B 5 φυλάσσοισι vett., corr. Tricl. 6 λοιβαῖς vett., corr. Byz. 7 κνίσα vett., corr. Bergk σφι Boeckh: σφισι vett. 8 αἰενάοις Pauw: ἀενάοις codd. 10 δωδεκάμηνον E. Schmid: δυωδεκάμηνον codd. περᾶσαί νιν Dissen: περάσαι σὺν codd. 11 Ἁγεσίλαν P. Maas: ἀγησίλαν B: ἀρκεσίλαν D 12 ἀρτεμίαν Schneider 13 μορφὰν . . . ἄλλων Boeckh ἄλλον Morel: ἄλλων codd.: ἄλλους Hartung 14 ἐπέδειξε vett., corr. Tricl. 17 ἀγαθοῖσιν ἐπαινεῖσθαι Schroeder: ἀγαθοῖς μὲν αἰνεῖσθαι BD: ἀγαθοῖσί νιν αἰνεῖσθαι Mommsen 18 μελισδούποισι B μελίζεν Pauw: μελιζέμεν codd.: μέλειν ἐν Hermann 19 περικτυόνων D ἓξ καὶ δέκ' apogr. B: ἑκκαίδεκ' vett. (ἐ- D) 21 μεγαυχεῖ E. Schmid: μεγαλαυχεῖ codd.

ἀντ. β' ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν δηριόντων ἐνόστησ' ἀντιπάλων,

ἐπ. β' πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

στρ. γ' συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας,—Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ,
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων,—
καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον
ἐκ Μελανίπποιο μάτρωος· ἀρχαῖαι δ' ἀρεταὶ

ἀντ. γ' ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,
δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,
ἀλλ' ἐν ἀμείβοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει

ἐπ. γ' μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα· προμαθείας δ' ἀπόκεινται ῥοαί.
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·
ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.

22–3 om. D  26 δηριόντων W. Schulze : δηρίων τῶν B : δηριώντων D  ἐνοστήσαντ' D  27 τέθμιον Ἡρακλέος Bergk  28 ἀναδησάμενος BD, corr. Tricl.  29 ἔρνεσιν D  30 ἔβαλον D : ἔλαβον B  33 μὰν Pauw : λίαν codd.  35 χαλκεντέα E. Schmid : χαλκέ τε B : χαλκεντέων D  36 ἰσμινοῦ D ῥοὰν codd., corr. Bergk  38 ἀλασσόμεναι D  39 ἐν σχερῶ codd., corr. E. Schmid  40 περιόδοις codd., corr. E. Schmid  41 πλούτῳ om. B  42 οὕτως ἔθνος e scholl. Heyne : οὕτω σθένος BD : γένος paraphr.  45 ἔργα γε Bergk : ἔργ' ἅτε Mommsen

# *ISTHMIA I*

## ΗΡΟΔΟΤΩΙ ΘΗΒΑΙΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,
πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον
θήσομαι. μή μοι κραναὰ νεμεσάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι.
τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;
εἶξον, ὠπολλωνιάς· ἀμφοτερᾶν
τοι χαρίτων σὺν θεοῖς ζεύξω τέλος,

ἀντ. α′ καὶ τὸν ἀκερσεκόμαν Φοῖβον χορεύων
ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ
δειράδ᾽· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος. ἐν ᾇ
καὶ τὸν ἀδείμαντον Ἀλκμάνα τέκεν

ἐπ. α′ παῖδα, θρασεῖαι τόν ποτε Γαρυόνα φρίξαν κύνες.
ἀλλ᾽ ἐγὼ Ἡροδότῳ τεύ-
χων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἁνία τ᾽ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ᾽ ἐθέλω
ἢ Καστορείῳ ἢ Ἰολάοι᾽ ἐναρμό-
ξαι νιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θή-
βαις ἐτέκνωθεν κράτιστοι·

στρ. β′ ἔν τ᾽ ἀέθλοισι θίγον πλείστων ἀγώνων,
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον

Inscrip. om. BD 1 ἁμά B 3 θήσομαι B : θάσομαι D 4 κέχυμαι] τέταμαι Hartung 5 ἀγαθοῖο D 6 ἀμφοτέρων B : ἀμφοτέροις D : corr. Boeckh 7 ἀκειρεκόμαν codd., corr. Schroeder 9 ἀνδράσι BD, corr. Tricl. ἁλιερκέος? Hermann 11 ἐξώπασεν Aristarchus 12 ἀλκμήνα codd., corr. Schroeder τέκε codd., corr. Boeckh 13 γηρυόνα codd., corr. Schroeder 14 τεύχω Bury 15 νωμάσαντι θέλω Wiskemann 16 Ἰολάοι᾽ Mommsen : ἰολάου codd. 18 θίγον] μίγεν Wiskemann

καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ,
γευόμενοι στεφάνων
νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν τ'
ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις,

ἀντ. β' οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς
καὶ λιθίνοις ὁπότ' ἐν δίσκοις ἵεν.
οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ' ἐφ' ἑκάστῳ
ἔργματι κεῖτο τέλος.
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις
ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρ-
κας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας,

ἐπ. β' Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς
ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.
χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ
Ὀγχηστίαισίν τ' ἀϊόνεσσι περιστέλ-
λων ἀοιδὰν
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀ-
σωποδώρου πατρὸς αἶσαν

στρ. γ' Ἐρχομενοῖό τε πατρῴαν ἄρουραν,
ἅ νιν ἐρειδόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας· ὁ πονή-
σαις δὲ νόῳ καὶ προμάθειαν φέρει·

20 λεβήταισι B: λεβήτεσσι D: corr. Tricl. 21 σευόμενοι D 23 γυμνοῖς codd., corr. Tricl. ἀσπιδόσιν πεισιν D ὁπλίτας D 24 οἷς τε D αἰχμὰς Pauw 25 ὁπότ' ἐν Hermann: ὁπότε codd.: ὁπότεν F. Vogt 26 ἦν Rom.: ἦ ε̄ B: ἦς D πένταθλον codd., corr. Mommsen 27 ἔργματι B: ἔρματι D 28 ἀθρόους D 29 ἔρνεσι vett. (ἕ- D) ἔφανε codd., corr. E. Schmid 32 Ποσειδάωνί ⟨τ'⟩ Morel 33 ὀγχηστίαισί τε vett., corr. Tricl. ἀϊόνεσ(σ)ι vett., corr. Tricl. 34 αἶσαν B: αἶγαν D 35 ὀρχομένοιο codd., corr. Schroeder 36 ἐρειπόμενον Hartung

ἀντ. γ' εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν,
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰ-
πόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν.

ἐπ. γ' μισθὸς γὰρ ἄλλοις ἄλλος ἐπ' ἔργμασιν ἀνθρώποις γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρ-
νιχολόχῳ τε καὶ ὃν πόντος τράφει.
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται·
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται
κῦδος ἁβρόν,
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν
καὶ ξένων γλώσσας ἄωτον.

στρ. δ' ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν
γείτον' ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
καὶ σέθεν, Ἀμφιτρύων,
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευ-
σῖνα καὶ Εὔβοιαν, ἐν γναμπτοῖς δρόμοις·

ἀντ. δ' Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς
Ἡροδότῳ πέπορεν

41 κατὰ κεῖται Heyne: καταθῇ τις Hartung: ποτίκειται Shackle 42 δαπάναισι B: δαπάνεσι D: corr. Tricl. 47 ἄλλος (om. ἄλλοις) B: ἄλλος ἄλλοις D: corr. Tricl. ἐφ' ἔργμασιν B: ἐφ' ἅρμασιν D: corr. Schroeder 48 τράφει B: τρέφει D 51 εὖ ἀγορηθεὶς codd., corr. Pauw δέχεται codd., corr. Boeckh πολιατῶν B 53 ἀμοιβομένοις D 54 ἱπποδρομίων Rauchenstein 61 πέπορεν P. Maas: ἔπορεν D: ἔμπορεν B

ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσω-
παμένον εὐθυμίαν μείζω φέρει.

ἐπ. δ'
εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς
Πιερίδων, ἔτι καὶ Πυ-
θῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα τιμὰν ἑπταπύλοις
Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔνδον νέμει πλοῦ-
τον κρυφαῖον,
ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀΐδᾳ τελέων οὐ
φράζεται δόξας ἄνευθεν.

63 σεσιγαμένον Hermann 64 μιν codd., corr. Mommsen πτερύγεσιν BD, corr. Byz. ἀγλαΐαισι B : ἀγλααῖσι D : corr. Tricl. 65 Πυθῶθεν Pauw : πυθόθεν codd. 66 ἕρνεσι D 68 ἀλαοῖσι Chrysippus ἐμπίτνων Schroeder : ἐμπαίζων Rauchenstein

## *ISTHMIA II*

### ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρ-
μιγγι συναντόμενοι,
ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

ἀντ. α′ ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ᾽ ἦν οὐδ᾽ ἐργάτις·
οὐδ᾽ ἐπέρναντο γλυκεῖαι μελιφθόγ-
γου ποτὶ Τερψιχόρας
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
νῦν δ᾽ ἐφίητι ⟨τὸ⟩ τὠργείου φυλάξαι
ῥῆμ᾽ ἀλαθείας ⟨ἐτᾶς⟩ ἄγχιστα βαῖνον,

ἐπ. α′ "χρήματα χρήματ᾽ ἀνήρ" ὃς
φᾶ κτεάνων θ᾽ ἅμα λειφθεὶς καὶ φίλων.
ἐσσὶ γὰρ ὢν σοφός· οὐκ ἄγνωτ᾽ ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
πέμπεν ἀναδεῖσθαι σελίνων,

στρ. β′ εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ᾽ εὐρυσθενὴς εἶδ᾽ Ἀπόλλων
νιν πόρε τ᾽ ἀγλαΐαν·

Inscrip. om. BD  1 οἳ e scholl. Aristophanis *Pax* 696 E. Schmid : ὅσ(σ)οι codd.  2 ἐς δίφρον $B^{s}$D : ἐν δίφρῳ $B^{1}$ : ἐν δίφρον ? Christ  συναντώμενοι B  6 μοῖσα Tricl. : μοῦσα BD  ποτ᾽ B  7 ἐπέρνατο B  μελιφθόγγου Heyne : μελίφθογγοι codd.  8 ἀργυρωθείσας Gurlitt  πρόσωπον Mair  9 ⟨τὸ⟩ suppl. Heyne  10 ῥημάτων ἀλαθείας Mair  ἀληθείας codd., corr. Stephanus  ⟨ἐτᾶς⟩ suppl. Bergk : ⟨ὁδῶν⟩ Hermann : ⟨ἑᾶς⟩ Bothe  12 ἀγνῶτ᾽ B  14 ὀπάσσαις D  15 κόμα codd., corr. Boeckh : κόμαν Ceporinus  16 ἀν-δεῖσθαι codd., corr. E. Schmid  18 μιν codd., corr. Boeckh

καὶ τόθι κλειναῖς Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς
ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,

ἀντ. β′ τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ᾽ ἁπάσαις ἁνίαις·
ὅν τε καὶ κάρυκες ὡρᾶν ἀνέγνον,
σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ
χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας

ἐπ. β′ γαῖαν ἀνὰ σφετέραν, τὰν
δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος· ἵν᾽ ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμειχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ᾽, ἐρατῶν,
οὔτε μελικόμπων ἀοιδᾶν.

στρ. γ′ οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,
εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τι-
μὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ᾽, ὅσον ὀργὰν
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,

ἀντ. γ′ ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας·
οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ᾽ ἱστίον ἀμφὶ τράπεζαν·

19 καὶ τόθι] καὶ τότε D[1] : καί ποτε ? Schroeder  22 νεῖμ᾽ ἁπάσαις Pauw : νωμᾶ πάσαις codd.  23 ἀνέγνων codd., corr. Ahrens  24 ποῦ τοι D  25 ἀσπάζονται B[ac]  26 πίτνοντο D  28 ἄλσος] Ἄλτιν Villoison  32 ἀοιδῶν B  35 ἀκοντίσαιμι B  36 ξενοκράτης BD, corr. Tricl.  38 κομίζων E. Schmid  39 διαίτας codd., corr. e scholl. Morel  40 οὔριος πνεύσαις Hermann  ὑπέστειλεν BD, corr. Tricl.

ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν.

ἐπ. γ' μή νυν, ὅτι φθονεραὶ θνα-
τῶν φρένας ἀμφικρέμανται ἐλπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς ἐργασάμαν.
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

41 θερείας Hecker: θέρειος Wilamowitz 42 πλέον B ἀκτάς scholl. B[s]: αὐγάς scholl. B[i]: Νείλοιο παγάς Mair 43 ἀμφικρέμονται D 44 σιγάσαι Hartung 46 εἰργασάμην codd., corr. Boeckh 48 ξένον B

# *ISTHMIA III*

## ΜΕΛΙΣΣΩΙ ΘΗΒΑΙΩΙ ΙΠΠΟΙΣ

στρ. α′ Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμεῖχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
ἐκ σέθεν· ζώει δὲ μάσσων
ὄλβος ὀπιζομένων, πλαγίαις δὲ φρένεσσιν
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.

ἀντ. α′ εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ
δεξαμένῳ στεφάνους, τὰ δὲ κοίλᾳ λέοντος
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν

ἐπ. α′ ἱπποδρομίᾳ κρατέων· ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι
πλούτου διέστειχον τετραοριᾶν πόνοις.
αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ-
άλλαξεν. ἄτρωτοί γε μὰν παῖδες θεῶν.

Inscrip. om. BD 3 μεμίχθαι codd., corr. Schroeder 7 ὑμνᾶσαι codd., corr. Heyne 8 χαρίτεσ(σ)ι codd., corr. E. Schmid 12 βαθυστέρνῳ paraphr. κήρυξε B 17 ματρόθεν codd., corr. E. Schmid λαβδακίδαισι codd., corr. Boeckh 18 διέστιχον codd., corr. Hermann 19 ἀλλ' ἄλλοι τ' B

# *ISTHMIA IV*

## ΜΕΛΙΣΣΩΙ ΘΗΒΑΙΩΙ ΙΠΠΟΙΣ

στρ. α′ Ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος,
ὦ Μέλισσ᾽, εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις,
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ θνατὸν διέρχον-
ται βιότου τέλος. ἄλλοτε δ᾽ ἀλλοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.

ἀντ. α′ τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ᾽ ἀμφικτιόνων κελαδεννᾶς τ᾽ ὀρφανοὶ
ὕβριος· ὅσσα δ᾽ ἐπ᾽ ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυ-
σαν κατὰ πὰν τέλος· ἀνορέαις δ᾽ ἐσχάταισιν
οἴκοθεν στάλαισιν ἅπτονθ᾽ Ἡρακλείαις,

ἐπ. α′ καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν·
ἱπποτρόφοι τ᾽ ἐγένοντο,
χαλκέῳ τ᾽ Ἄρει ἅδον.
ἀλλ᾽ ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων
ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
νῦν δ᾽ αὖ μετὰ χειμέριον ποικίλα μηνῶν ζόφον
χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις

Inscrip. om. BD  Adhaerescit carmen praecedenti in D  2 εὐμηχανίαν B ἔφανες vett., corr. Tricl. Interpunxit hic Hartmann  2–3 Ἰσθμίοις ὑμετέρας om. D  5 βίου vett., corr. Donaldson  7 ὧν B: ὦ D  8 ἀμφικτυόνων D  κελαδενᾶς B  11 πᾶν codd., corr. Schroeder  13 τῷ μηκέτι Bergk: τᾶν μηκέτι Herwerden: ὡς μηκέτι Naber  15 χαλκείῳ vett., corr. Tricl.  τ᾽ om. D  19 ποικίλα Hartung: ποικίλων codd.: φοινίων Kayser  20 ὥτε D: ἅτε B ἄνθησεν e scholl. Pauw: ἄνθησε̄ B: ἄνθος D: ἄνθησαν Ceporinus

στρ. β′ δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλέων ἔργων· ἐν ὕπνῳ
γὰρ πέσεν· ἀλλ’ ἀνεγειρομένα χρῶτα λάμπει,
Ἀοσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·

ἀντ. β′ ἅ τε κὰν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
ἔν τ’ Ἀδραστείοις ἀέθλοις Σεκυῶνος ὤπασεν
τοιάδε τῶν τότ’ ἐόντων φύλλ’ ἀοιδᾶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλά-
νεσσι δ’ ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων.
τῶν ἀπειράτων γὰρ ἄγνωτοι σιωπαί.

ἐπ. β′ ἔστιν δ’ ἀφάνεια τύχας καὶ μαρναμένων,
πρὶν τέλος ἄκρον ἱκέσθαι.
τῶν τε γὰρ καὶ τῶν διδοῖ·
καὶ κρέσσον’ ἀνδρῶν χειρόνων
ἔσφαλε τέχνα καταμάρψαισ’· ἴστε μὰν
Αἴαντος ἀλκάν, φοίνιον τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ, μομφὰν ἔχει
παίδεσσιν Ἑλλάνων, ὅσοι Τροίανδ’ ἔβαν.

στρ. γ′ ἀλλ’ Ὅμηρός τοι τετίμακεν δι’ ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,

26 Ἀοσφόρος Bergk: ἀωσφόρος B: ἑωσφόρος D 27 κεὶν B: κὴν D, corr. Boeckh ἀθηνᾶν codd., corr. Heyne κηρύξαισα codd., corr. Ald. 28 σικυῶνος codd., corr. Schroeder ὤπασεν Tricl.: ὤπασε vett. 29 ἀοιδῶν B 30 ξυνῶν B 32 ἄγνωστοι codd., corr. Mommsen 33 ἔστι vett., corr. Tricl. 34 ἄκρον om. B 35 διδοῖ τέλος vett., corr. Tricl. 37 τέχνᾳ B ἴστε μὰν B: ἴστε καὶ D 40 παίδευσιν D Τροίανδ’ Bergk: τρώανδ’ B: τρώωνδ’ D 44 ἕρποι D

εἴ τις εὖ εἴπῃ τι· καὶ πάγ-
καρπον ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

ἀντ. γ΄ προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
ἐν πόνῳ, μῆτιν δ' ἀλώπηξ,
αἰετοῦ ἅ τ' ἀναπιτναμένα ῥόμβον ἴσχει.
χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν.

ἐπ. γ΄ οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν·
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' ἀκμᾷ βαρύς.
καί τοί ποτ' Ἀνταίου δόμους
Θηβᾶν ἄπο Καδμεϊᾶν μορφὰν βραχύς,
ψυχὰν δ' ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ
τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων
ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι,

στρ. δ΄ υἱὸς Ἀλκμάνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε πάσας
καὶ βαθύκρημνον πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον
ἀμφέπων ναίει, τετίμα-
ται δὲ πρὸς ἀθανάτων φίλος, Ἥβαν τ' ὀπυίει,
χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.

ἀντ. δ΄ τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ
καὶ νεόδματα στεφανώματα βωμῶν, αὔξομεν

45 πόντου Naber  49 οἰκὼς Hartung  50 θηρῶν Heyne: θηρᾶν codd.  52 πὰν expectaveris: fortasse πάντ' legendum  ἔρδοντα μαυρῶσαι Bergk  55 ἀκμᾷ Pauw: αἰχμᾷ codd.  58 ἄκομπος B  59 ξένων Tricl., ξείνων vett.  61 ἀλκμήνας codd., corr. Schroeder  62 βαθυκρήμνου codd., corr. Heyne  63 πορθμοὺς E. Schmid: πόντον Hecker  65 ὀπυίει Ceporinus: ὀπύει B: ὀπήει D

ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς·
τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν
φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει,
αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ,

ἐπ. δʹ καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων
γίνεται, ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα
μύρτοις ὅδ' ἀνὴρ διπλόαν
νίκαν ἀνεφάνατο παίδων ⟨τε⟩ τρίταν
πρόσθεν, κυβερνατῆρος οἰακοστρόφου
γνώμᾳ πεπιθὼν πολυβούλῳ. σὺν Ὀρσέᾳ δέ νιν
κωμάξομαι τερπνὰν ἐπιστάζων χάριν.

70 οἱ τέκε codd., transp. Morel  Κρειοντὶς E. Schmid  71 δυθμαῖσιν $B^{cl}D^{cl}$ : δυθμέσι codd.  72 κνισάντι codd., corr. Schroeder  πλακτίζοισα Hecker  73 ἀέθλων τέρμα codd., transp. E. Schmid  77 τε supp. Hermann  78 πρόσθε vett., corr. Tricl.  79 πεπιθὼν] πίσυνος Hermann  80 κωμάζομαι B  ἐπιστάζων e scholl. Tricl. : ἀποστάζων B : ἐπιστοχάζων D

# *ISTHMIA V*

## ΦΥΛΑΚΙΔΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΓΚΡΑΤΙΩΙ

στρ. α′ Μᾶτερ Ἁλίου πολυώνυμε Θεία,
σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·
καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ καὶ ⟨ὑφ'⟩ ἅρμασιν ἵπποι
διὰ τεάν, ὤνασσα, τιμὰν ὠκυδινή-
τοις ἐν ἁμίλλαισι θαυμασταὶ πέλονται·

ἀντ. α′ ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν
κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν
ἢ ταχυτᾶτι ποδῶν.
κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαί-
νοντι τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ,

ἐπ. α′ εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ.
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
θνατὰ θνατοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,
Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν
Πυθέᾳ τε παγκρατίου. τὸ δ' ἐμὸν
οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·
σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς

στρ. β′ τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
θεοδότων ἔργων κέλευθον ἂν καθαράν,

Inscrip. om. BD  1 ἀελίου codd., corr. Morel  2 σέο γ' codd., corr. Bergk  5 καὶ ⟨ὑφ'⟩ e scholl. Bergk : καὶ ἐν B : καὶ D  6 ὠκυδινάτοις codd., corr. Mommsen  12 δύο B[s] : δύω B[1]D  ἄλπνιστον Tricl. : ἀνέλπιστον BD : ἄλπιστον ? Wackernagel : ἄλγιστον Hartung  13 ἀκούσῃ D  16 θνατοῖς BD, corr. Tricl.  18 Φυλακίδ', ἄγκειται e scholl. P. Maas

μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
κιρνάμεν ἀντὶ πόνων.
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
λόγον ἐκέρδαναν· κλέονται δ' ἔν τε φορμίγ-
γεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς

ἀντ. β' μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς
Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι.
ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς
Οἰνεΐδαι κρατεροί,
ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει, Κάστορος δ' αἰχ-
μὰ Πολυδεύκεός τ' ἐπ' Εὐρώτα ῥεέθροις.

ἐπ. β' ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
Αἰακοῦ παίδων τε· τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν Τρώων ἔπραθον, σπόμενοι
Ἡρακλῆϊ πρότερον,
καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν·
λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
καὶ στράταρχον Αἰθιόπων ἄφοβον
Μέμνονα χαλκοάραν· τίς ἄρ' ἐσλὸν Τήλεφον
τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις;

στρ. γ' τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν,
διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς

24 ἀοιδᾶς Bergk 25 κιρνάμεναι BD, corr. Byz. 31 καρτεροί BD, corr. Tricl. 32 ἱπποσίας BD, corr. Tricl. 33 Πολυδεύκευς τ' Pauw 36 ἔπραθον σπόμενοι Bergk: πράθον ἑσπόμενοι B: πάθον ἑπόμενοι D 37 ἡρακλῆϊ Tricl.: ἡρακλεῖ vett. 38 ἀτρείδαισιν BD, corr. Tricl. παίδοθεν D 41 τίς γὰρ codd., corr. E. Schmid 42 Μυσίαις παρ' ὄχθαις Hermann 43 πρόφερε Hartmann 44 πάλιν B 45 ὑψηλᾶς ἀρετᾶς Hartung

γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
κελαδέειν· καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι
κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις

ἀντ. γ' ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ' ὅμως καύχαμα κατάβρεχε σιγᾷ·
Ζεὺς τά τε καὶ τὰ νέμει,
Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ
μέλιτι καὶ τοιαίδε τιμαὶ καλλίνικον
χάρμ' ἀγαπάζοντι. μαρνάσθω τις ἔρδων

ἐπ. γ' ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου
ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς
μόχθος ἀνδρῶν οὐδ' ὁπόσαι δαπάναι
ἐλπίδων ἔκνιξ' ὄπιν.
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμοις
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι,
χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.
λάμβανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν,
καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.

48 κελαδέειν Beck : κελαδῆσαι codd. : κελαρύσαι Bergk : κελαδέσαι Keil : κελαδέμεν E. Schmid 51 κατέβραχέσιν D 52 τάδε καὶ codd., corr. Boeckh 54 μαρνάσθω δέ τις BD, corr. Tricl. 58 ἐλπίδων ἔκνιξ(ζ)' ὄπιν codd., vix sanum : ἐλπίδ' ἔκνισαν ὄπιν Wilamowitz : ἐλπίδων ἔκνισ' ὀπί Aristarchus 60 φυλακίδαν D 61 νόων D

## *ISTHMIA VI*

## ΦΥΛΑΚΙΔΑΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΓΚΡΑΤΙΩΙ

στρ. α' Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου
δεύτερον κρατῆρα Μοισαίων μελέων
κίρναμεν Λάμπωνος εὐαέ-
θλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,
τὶν ἄωτον δεξάμενοι στεφάνων,
νῦν αὖτε Ἰσθμοῦ δεσπότᾳ
Νηρεΐδεσσί τε πεντήκοντα, παίδων ὁπλοτάτου
Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον
σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.

ἀντ. α' εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,
σύν τέ οἱ δαίμων φυτεύει
δόξαν ἐπήρατον, ἐσχατιαῖς ἤδη πρὸς ὄλβου
βάλλετ' ἄγκυραν θεότιμος ἐών.
τοίαισιν ὀργαῖς εὔχεται
ἀντιάσαις ἀΐδαν γῆράς τε δέξασθαι πολιὸν
ὁ Κλεονίκου παῖς· ἐγὼ δ' ὑψίθρονον
Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς
ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.

ἐπ. α' ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι,
τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν
τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.
μυρίαι δ' ἔργων καλῶν τέ-
τμανθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι,

Inscrip. om. BD 2 μοισέων codd., corr. Heyne 3 ἐυάθλου codd., corr. Mommsen 4 τίν γ' ἄωτον Pauw δεξαμένου Heimsoeth 5 αὖτ' ἐν codd., corr. Hermann: αὖτεν Usener: αὖτις Boeckh 6 νηρηΐδεσσι B 9 σπεύδειν D 12 ἐσχατιὰς D 15 ἀντιάσας D 17 ἕσπεσθαι Pauw: σπέσθαι codd. 19 ὑμέ $B^{1}D^{cl}$ 20 εἶναι codd., corr. Schneidewin 21 ἐπιστείχοντι $B^{s}$ 22 τέτμηνθ' codd., corr. Schroeder

καὶ πέραν Νείλοιο παγᾶν
καὶ δι' Ὑπερβορέους·
οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγωσσος πόλις,
ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥ-
ρωος, εὐδαίμονος γαμβροῦ θεῶν,

στρ. β' οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα
καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἆγε σὺν Τιρυνθίοισι
πρόφρονα σύμμαχον ἐς Τροΐαν, ἥρωσι μόχθον,
Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν
ἐν ναυσὶν 'Αλκμάνας τέκος.
εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων
ἔθνεα καὶ τὸν βουβόταν οὔρεϊ ἴσον
Φλέγραισιν εὑρὼν 'Αλκυονῆ, σφετέρας δ' οὐ φείσατο
χερσὶν βαρυφθόγγοιο νευρᾶς

ἀντ. β' Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων
ἐς πλόον ⟨κούρων⟩ κύρησεν δαινυμένων.
τὸν μὲν ἐν ῥινῷ λέοντος
στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι
καρτεραίχμαν 'Αμφιτρυωνιάδαν,
ἄνδωκε δ' αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,
ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους
αὔδασε τοιοῦτον ἔπος· "Εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,
θυμῷ θέλων ἀρᾶν ἄκουσας,

ἐπ. β' νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας

23 *πέρανείλοιο* B 24 *παλίγλωσσος* B 25 *πηλέως* B *ἀΐει* Hermann: *ἀΰει* codd. 28 *τρωΐαν* B[s] *μόχθων* Stephanus 29 *Λαομεδοντείαν* Mommsen 30 *ἀλκμήνας* codd., corr. Schroeder 31 *μερόπων τ'* codd., corr. Boeckh 36 *κούρων* supp. Shackle: *κεῖνον* Schroeder: *κᾶρυξ* Mair *κύρησε* D, corr. Hartung: *κήρυσσε* B 38 *κρατεραίχμαν* D *ἀμφιτρυωνίδαν* B 41 *ἀνατείναις* Boeckh: *ἀντείνας* codd. 42 *τοιοῦτόν τι* codd., corr. Heyne *ἐμὰν* codd., corr. Mommsen 44 *θεσπεσίαν* codd., corr. Ceporinus

ἀνδρὶ τῷδε, ξεῖνον ἁμὸν μοιρίδιον τελέσαι·
τὸν μὲν ἄρρηκτον φυάν, ὥσ-
περ τόδε δέρμα με νῦν περιπλανᾶται
θηρός, ὃν πάμπρωτον ἀέθλων
κτεῖνά ποτ' ἐν Νεμέᾳ·
θυμὸς δ' ἑπέσθω." ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁ-
δεῖα δ' ἔνδον νιν ἔκνιξεν χάρις,

στρ. γ′ εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ.
"Ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών·
καί νιν ὄρνιχος φανέντος
κέκλευ ἐπώνυμον εὐρυβίαν Αἴαντα, λαῶν
ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου."
ὣς ἦρα εἰπὼν αὐτίκα
ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ⟨ἀν⟩αγήσασθ' ἀρετάς·
Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας
Πυθέᾳ τε κώμων Εὐθυμένει τε· τὸν Ἀργείων τρόπον
εἰρήσεταί που κἂν βραχίστοις.

ἀντ. γ′ ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου
τρεῖς ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,
ἀγλαοὶ παῖδές τε καὶ μά-
τρως. ἀνὰ δ' ἄγαγον ἐς φάος οἵαν μοῖραν ὕμνων·
τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ,
τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν
θεοφιλῆ ναίοισι· Λάμπων δὲ μελέταν

46 τόνδε D ξεῖνον B : κεῖνον D 47 με νῦν Stephanus : μίμνοι codd. 48 ἄθλων Morel 50 νιν Boeckh : μιν codd. 53 κέκλευ P. Melanchthon : κέκλετ' codd. : κέκλε' Bergk 55 ὣς ἄρα codd., corr. Schroeder 56 ἁγήσασθ' codd., corr. Mingarelli 57 φυλακίδα codd., corr. Morel 58 πυθέα BD, corr. Tricl. 59 που κἂν Heyne : που κὲν B : πα κ' ἐν D : πόλλ' ἐν Schroeder 62 μάτρως. ἀνὰ δ' E. Schmid: μάτρωες. ἂν δ' codd. 63 Ψαλυχιδᾶν E. Schmid : ψαλυχιαδᾶν codd. 66 ναίουσι codd., corr. Hermann : ναίοντι Christ

ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ᾽ ἔπος,
υἱοῖσί τε φράζων παραινεῖ,

ἐπ. γ′ ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων·
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·
γλῶσσα δ᾽ οὐκ ἔξω φρενῶν· φαί-
ης κέ νιν ἄνδρ᾽ ἐν ἀεθληταῖσιν ἔμμεν
Ναξίαν πέτραις ἐν ἄλλαις
χαλκοδάμαντ᾽ ἀκόναν.
πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
χρυσοπέπλου Μναμοσύνας ἀνέτει-
λαν παρ᾽ εὐτειχέσιν Κάδμου πύλαις.

70 ξείνων BD, corr. E. Schmid 72 νιν ἄνδρ᾽ ἐν ἀεθληταῖσιν E. Schmid : νιν ἄνδρ᾽ ἐν ἀθληταῖσιν codd. : Μένανδρον ἐν ἀεθληταῖσιν Mommsen : νιν ἀνδράσιν ἀεθληταῖσιν Heyne 73 χαλκοδάμαν Heyne 75 εὐτειχέσι codd., corr. Pauw

# *ISTHMIA VII*

## ΣΤΡΕΨΙΑΔΗΙ ΘΗΒΑΙΩΙ ΠΑΓΚΡΑΤΙΩΙ

στρ. α′ Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
εὔφρανας; ἦρα χαλκοκρότου πάρεδρον
Δαμάτερος ἀνίκ᾽ εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον
νείφοντα δεξαμένα
τὸν φέρτατον θεῶν,

ἀντ. α′ ὁπότ᾽ Ἀμφιτρύωνος ἐν θυρέτροις
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;
ἤτ᾽ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἤτ᾽ ἀμφ᾽ Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
Ἄδραστον ἐξ ἀλαλᾶς
ἄμπεμψας ὀρφανὸν

ἐπ. α′ μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον;
ἢ Δωρίδ᾽ ἀποικίαν οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ᾽ Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαιὰ γὰρ
εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,

στρ. β′ ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν·
κώμαζ᾽ ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ

3 ἦρα B: ἦ ῥα D  5 νίφοντα codd., corr. Schroeder  8 ἤτ᾽ Bergk: ἢ ὅτ᾽ codd.  τειρεσίαο πυκιναῖς codd., transp. Pauw  πυκιναῖς codd., corr. Pauw  9 ἤτ᾽ Bergk: ἢ ὅτ᾽ codd.  10 κρατερᾶς D  11 ἑταίρων εἰς codd., corr. E. Schmid  12 οὕνεκ᾽ codd., corr. Thiersch  15 αἰγεῖδαι B: γρ. ἀργεῖδαι scholl.: αἰδεῖσθαι D  πυθίοισιν BD, corr. Tricl.  20 ἔπειτεν Pauw: ἔπει τ᾽ ἐν B: ἔπειτ᾽ ἐν D  21 στρεψίαδα D

νίκαν παγκρατίου· σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορ-
φάεις· ἄγει τ' ἀρετὰν
22b οὐκ αἴσχιον φυᾶς.

ἀντ. β' φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,
μάτρωΐ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος,
25 χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμειξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφές, ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλα-
ζαν αἵματος πρὸ φίλας
27b πάτρας ἀμύνεται,

ἐπ. β' λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ,
ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων
30 ζώων τ' ἀπὸ καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
Ἀμφιάραόν τε,
εὐανθέ' ἀπέπνευσας ἁλικίαν

στρ. γ' προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
36 ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων
39b μὴ θρασσέτω φθόνος.

ἀντ. γ' ὅ τι τερπνὸν ἐπάμερον διώκων
41 ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
αἰῶνα. θνᾴσκομεν γὰρ ὁμῶς ἅπαντες·

22 μορφάεσσ' B : μορφάεσ' D : corr. Ceporinus 22b αἴσχθιον D : αἰσχίω Tricl. 23 δ' ἰοπλοκάμοισι codd., corr. Bergk : δ' ἰοβοστρύχοισι E. Schmid 24 μάτρῳ(ῳ) BD, corr. Tricl. δέδορκε Heyne 25 Ἄρης] ἄρ' D 27 πρὸς φίλας codd., corr. E. Schmid 28 ἄντα φέρων (ἐνάντιον φέρων schol.) Thiersch : ἀμύνων codd.: ἀντιάσαις Hartung : ἀντανύων Bergk : ἀμφιβαλὼν Mair 36 ἐπ' ἐλπίσιν codd., corr. Rom. 40 ἐπάμερον Mommsen : ἐφάμερον codd. 41 ἐπεί μιν D 42 θνάσκομεν codd., corr. Schroeder

δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
ἕδραν· ὅ τοι πτερόεις
44b ἔρριψε Πάγασος

ἐπ. γ' δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
46 ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός. τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
50 τεαῖσιν ἁμίλλαισιν
εὐανθέα καὶ Πυθόϊ στέφανον.

43 ἄϊσος Benedictus: ἄϊστος codd. 44 ὅ τοι B: ὅτι D: ὃ δὲ Heyne
51 πυθοῖ codd., corr. E. Schmid: Πυθόθεν Pauw

# *ISTHMIA VIII*

## ΚΛΕΑΝΔΡΩΙ ΑΙΓΙΝΗΤΗΙ ΠΑΙΔΙ ΠΑΓΚΡΑΤΙΩΙ

στρ. α′ Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον
εὔδοξον, ὦ νέοι, καμάτων
πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρό-
θυρον ἰὼν ἀνεγειρέτω
κῶμον Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ
ἀέθλων ὅτι κράτος ἐξεῦρε· τῷ καὶ ἐγώ, καίπερ ἀχνύμενος
θυμόν, αἰτέομαι χρυσέαν καλέσαι
Μοῖσαν· ἐκ μεγάλων δὲ πενθέων λυθέντες
μήτ᾽ ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων,
μήτε κάδεα θεράπευε· παυσάμενοι δ᾽ ἀπράκτων κακῶν
γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον·
ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς
λίθον γε Ταντάλου παρά τις ἔτρεψεν ἄμμι θεός,

στρ. β′ ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλὰ
ἐμὲ δεῖμα μὲν παροιχόμενον
καρτερᾶν ἔπαυσε μεριμνᾶν· τὸ δὲ πρὸ
ποδὸς ἄρειον ἀεὶ ⟨σκοπεῖν⟩
χρῆμα πάν· δόλιος γὰρ αἰὼν ἐπ᾽ ἀνδράσι κρέμαται,
ἑλίσσων βίου πόρον· ἰατὰ δ᾽ ἐστὶ βροτοῖς σύν γ᾽ ἐλευθερίᾳ
καὶ τά. χρὴ δ᾽ ἀγαθὰν ἐλπίδ᾽ ἀνδρὶ μέλειν.
χρὴ δ᾽ ἐν ἑπταπύλοισι Θήβαις τραφέντα
Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν,
πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων
ὁπλόταται, Ζηνί τε ἅδον βασιλέϊ.

Inscr. om. BD 3 πρόθυμον D ἀγειρέτω D 4 κώμων B Post Νεμέᾳ distinxit Mommsen 8 ἀπράκτων D¹: ἀπρήκτων codd. 11 γε Ταντάλου λίθον codd., corr. Schroeder 12–13 ἀλλ᾽ ἐμοὶ codd., corr. Boehmer 13 παροιχομένων Benedictus 14 αἰεὶ codd., corr. E. Schmid σκοπεῖν e scholl. Thiersch 15 χρῆμα· πανδόλιος L. Schmidt 16 βίου Tricl.: βιότου vett. καὶ τὰ B: καὶ ταὸν D 19 θυγατέρες D, corr. Tricl. 20 ὁπλοτάτα D, corr. Tricl. θ᾽ ἅδον D, corr. E. Schmid

ὃ τὰν μὲν παρὰ καλλιρόῳ
Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα·

στρ. γʹ σὲ δ᾽ ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν
κοιμᾶτο, δῖον ἔνθα τέκες
Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνό-
τατον ἐπιχθονίων. ὃ καὶ
δαιμόνεσσι δίκας ἐπείραινε· τοῦ μὲν ἀντίθεοι
ἀρίστευον υἱέες υἱέ͜ων τ᾽ ἀρηΐφιλοι παῖδες ἀνορέᾳ
χάλκεον στονόεντ᾽ ἀμφέπειν ὅμαδον·
σώφρονές τ᾽ ἐγένοντο πινυτοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμναντ᾽ ἀγοραί,
Ζεὺς ὅτ᾽ ἀμφὶ Θέτιος ἀγλαός τ᾽ ἔρισαν Ποσειδὰν γάμῳ,
ἄλοχον εὐειδέα θέλων ἑκάτερος
ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
ἀλλ᾽ οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες,

στρ. δʹ ἐπεὶ θεσφάτων ἐπάκουσαν· εἶπεν
εὔβουλος ἐν μέσοισι Θέμις,
οὕνεκεν πεπρωμένον ἦν φέρτερον πα-
τέρος ἄνακτα γόνον τεκεῖν
ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριόδοντός τ᾽ ἀμαιμακέτου, Δί τε μισγομέναν
ἢ Διὸς παρ᾽ ἀδελφε͜οῖσιν. "ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων δὲ λεχέων τυχοῖσα
υἱὸν εἰσιδέτω θανόντ᾽ ἐν πολέμῳ,
χεῖρας Ἄρεΐ ⟨τ᾽⟩ ἐναλίγκιον στεροπαῖσί τ᾽ ἀκμὰν ποδῶν.

22 ᾤκισεν D, corr. Tricl. 23–4 ἔνεγκε, κοιμᾶ τε Hermann 26 ἐπέραινε D, corr. Tricl. 27 στονόεντα τ᾽ D, corr. Tricl. 30 ἔρισαν Benedictus : ἐρίσας D 31 εὐειδέ᾽ ἐθέλων Boeckh 32 ἔμμεν Tricl. : ἔμμεναι D ἔχεν E. Schmid : ἔσχεν D : ἕλεν Tricl. 34 ἐπάκουσαν Tricl. : ἤκουσαν D : ὑπ᾽ ἄκουσαν Hermann εἶπεν Boeckh, εἶπε δ᾽ codd. 36 οὕνεκεν Donaldson : εἵνεκεν D γόνον ἄνακτα πατρὸς codd., corr. Ahlwardt 38 χειρὶ D, corr. Tricl. Δί τε Hermann : διΐ D : Δί γε Bergk 39 τυχοῦσα D, corr. Heyne 41 ἄρεϊ χεῖρας D, transp. Hermann τ᾽ supp. Boeckh

τὸ μὲν ἐμόν, Πηλέϊ γέρας θεόμορον
ὀπάσσαι γάμον Αἰακίδᾳ,
ὅν τ᾽ εὐσεβέστατον φάτις Ἰαολκοῦ τράφειν πεδίον·

στρ. ε′ ἰόντων δ᾽ ἐς ἄφθιτον ἄντρον εὐθὺς
Χίρωνος αὐτίκ᾽ ἀγγελίαι·
μηδὲ Νηρέος θυγάτηρ νεικέων πέ-
ταλα δὶς ἐγγυαλιζέτω
ἄμμιν· ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν
λύοι κεν χαλινὸν ὑφ᾽ ἥρωϊ παρθενίας." ὣς φάτο Κρονίδαις
ἐννέποισα θεά· τοὶ δ᾽ ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοισιν· ἐπέων δὲ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ ξύν᾽ ἀλέγειν
καὶ γάμον Θέτιος ἄνακτε. καὶ νεαρὰν ἔδειξαν σοφῶν
στόματ᾽ ἀπείροισιν ἀρετὰν Ἀχιλέος·
ὃ καὶ Μύσιον ἀμπελόεν
αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον,

στρ. ϛ′ γεφύρωσέ τ᾽ Ἀτρεΐδαισι νόστον,
Ἑλέναν τ᾽ ἐλύσατο, Τροΐας
ἶνας ἐκταμὼν δορί, ταί νιν ῥύοντό
ποτε μάχας ἐναριμβρότου
ἔργον ἐν πεδίῳ κορύσσοντα, Μέμνονός τε βίαν [νας
ὑπέρθυμον Ἕκτορά τ᾽ ἄλλους τ᾽ ἀριστέας· οἷς δῶμα Φερσεφό-
μανύων Ἀχιλεύς, οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν.

42–3 πηλεῖ θεά-|μοιρον ὀπάσαι γάμου | αἰακίδᾳ γέρας D, corr. Hermann 44 φάτις Bothe: φασὶν codd. 45 Incipit ultimum folium codicis B vv. 45–58 continens εὐθὺ Hermann 47 νηρέως codd., corr. Boeckh 48 διχομηνίδεσ(σ)ι codd., corr. Boeckh δ᾽ ἑσπέραις vett., corr. Tricl. 49 ἐνέποισα vett., corr. Tricl. 51 συναλέγειν codd., corr. Hermann: Ζῆν ἀλέγειν Mair 52 ἄνακτε Tricl.: ἄνακτα BD καὶ νεαρὰν Schmid: καὶ νέ ἀν- BD: καὶ νέαν Tricl. 53 ἀχιλλέος D, corr. Tricl.: ἀχιλέως B 56 ἀτρεάδαισι codd., corr. Benedictus 57 τρωΐας codd., corr. Schroeder 58 μιν codd., corr. Ahlwardt ποτ᾽ ἐκ μάχας codd., corr. Tricl. 60 περσεφόνας D, corr. Boeckh ἀχιλλεύς D, corr. Tricl.

τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαί τι λίπον,
ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι
στάν, ἐπὶ θρῆνόν τε πολύφαμον ἔχεαν.
ἔδοξ' ἆρα καὶ ἀθανάτοις,
ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.

στρ. ζ' τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε
Μοισαῖον ἅρμα Νικοκλέος
μνᾶμα πυγμάχου κελαδῆσαι. γεραίρε-
τέ νιν, ὃς Ἴσθμιον ἂν νάπος
Δωρίων ἔλαχεν σελίνων· ἐπεὶ περικτίονας
ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτῳ χερὶ κλονέων.
τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ
πατραδελφεοῦ· ἁλίκων τῷ τις ἁβρὸν
ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω
μυρσίνας στέφανον. ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ
ἐν Ἐπιδαύρῳ τε νεότας δέκετο πρίν·
τὸν αἰνεῖν ἀγαθῷ παρέχει·
ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χειᾷ καλῶν δάμασεν.

62 οὐδὲ Boeckh : οὔτε codd. τι λίπον Schroeder : ἔλιπον codd. : λέλιπον P. Maas 64 στάν Mingarelli : ἔσταν codd. 69 γεραίρετε Bothe : γεραίρεται D : γέραιρέ τε Hermann μιν codd., corr. Mommsen ἂν νάπος Hermann : ἀνάπος D : ἂν πέδον Tricl. 71 κἀκεῖνος codd., corr. Boeckh ἀφύκτε χειρὶ D, corr. Tricl. τὸ μὲν D, corr. Tricl. γενέαν D, corr. Tricl. 74 ἀλκάθου D, corr. Tricl. 75 ἐν Tricl., εἰ D δέκετο πρίν Hermann : πρὶν ἔδεκτο codd. 76 παρέχειν D, corr. Tricl. 77 χειᾷ Tricl. : χόα πω D

# FRAGMENTA

## *EPINICIA ISTHMIA*

1. κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυ-
σικλυτὸς Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ
Ὕλλου τὲ καὶ Αἰγιμιοῦ
Δωριεὺς ἐλθὼν στρατὸς
ἐκτίσσατο· τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται
οὐ θέμιν οὐδὲ δίκαν
ξείνων ὑπερβαίνοντες· οἷοι δ' ἀρετὰν
δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ
Μοισᾶν ἀγωνίων τ' ἀέθλων.

Exordium hoc Isthm. ix legitur in cod. D 1 Κλεινὸς μὲν Hermann θεῶν . . . αἴσᾳ Boeckh : θεῶ . . . αἶσα cod. 4 ἐκτίσσατο Hermann : ἐκτήσατο codd. τῶν Hermann : τὰ cod. : τοὶ Boeckh

2. ὁ δ' ἐθέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν
τὰν Ἀγαμήδεϊ Τροφωνίῳ θ' Ἑκαταβόλου
συμβουλίαν λαβὼν

Schol. Lucian. *dial. Mort.* pp. 255–6 Rabe (ἐν τῇ ᾠδῇ τῶν Ἰσθμιονικῶν τῇ εἰς Κασμύλον Ῥόδιον πύκτην) 1 δ' ἐθέλων Rohde : δὲ θέλων codd.

3. καὶ περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος, τὸν νεὼν τὸν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν· τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσταχθὲν τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι.

Plut. *consol. ad Apoll.* 14 (*Mor.* p. 109A)

4. κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων

Schol. Pind. *Isthm.* v inscr. p. 241 Drachmann (de Pythea Aegineta)

5. Αἰολίδαν δὲ Σίσυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρσαι
γέρας φθιμένῳ Μελικέρτᾳ.

(i) Apollon. *Synt.* ii 21; (ii) id. *de Pron.* p. 48, 22; (iii) Arg. Pind. *Isthm.* pp. 192–4 Drachmann 2 ᾧ Apollon., qui varias lectiones ὡ et οἷ testatur 3 φθιμένῳ codd. *Synt.* : ἐπιφθιμένῳ codd. *de Pron.*

6. ἀποροῦσι πῶς ὃν εἶπεν Ἀθαμαντιάδαν καὶ Σισύφου παρίστησιν.

Apollon. *Synt.* ii 21, p. 156, 11 B

7. ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν

Apollon. *Pron.* p. 368 A (Πίνδαρος Ἰσθμιονίκαις) ἐξεκύλισε Bekker: ἐξεκυλίσθη cod.

8. ὅτι δοκεῖ τὸ τοιοῦτον κατὰ γένος εἰρῆσθαι οὐδέτερον, ὡς ἐμφαίνει Πίνδαρος ἐν Ἰσθμιονίκαις εἰπὼν τρία κρᾶτα ἤτοι κράατα.

Eust. *Od.* 1715, 63

9. Ἰσμηνόν, ἢ χρυσαλάκατον Μελίαν,
ἢ Κάδμον, ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν;

(i) Lucian. *Dem. Enc.* 19; (ii) Schol. ad loc. (ἀρχαὶ ταῦτα τῶν Πινδάρου τοῦ μελοποιοῦ ὕμνων); (iii) Schol. Pind. *Nem.* x 1; (iv) Plut. *Glor. Ath.* 4, p. 348; (v) Dio Prus. *Or.* 33, 4  1 χρυσηλάκατον codd. Plut. et Dio.  2 ἀνδρῶν om. codd. Lucian.  4 ἡρακλέους codd. Plut., codd. Lucian.  5 Διονύσου codd., corr. Boeckh

10. πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνὰν
ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν
σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους
τίκτεν ἀλαθέας Ὥρας

(i) Clem. Alex. *Strom.* vi 731; (ii) Hephaest. p. 51, 22 Consbruch  1 πρῶτα codd. Clem.  2 χρυσίαισιν ἵπποισιν codd. Clem., corr. Hermann  παρὰ πάγον codd. Clem., corr. Boeckh  4 ἄγον codd. Clem., corr. Hermann  Οὐλύμπου Hermann: ὀλύμπου codd.  5 ἔμμεναι codd. Clem., corr. Heyne  6 ἀλαθέας ὥρας ex Hesychio Boeckh: ἀγαθὰ σωτῆρας codd. Clem.

11. ἐν δὲ τῷ δείπνῳ ὅ τε Ἀπόλλων ἐκιθάρισε καὶ ὁ Σιληνὸς κόρδακα ὠρχήσατο καὶ αἱ Μοῦσαι ἀναστᾶσαι τῆς τε Ἡσιόδου Θεογονίας ᾖσαν ἡμῖν καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τῶν Πινδάρου.

Lucian. *Icaromen.* 27

12. Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτούς φησιν ἐρομένου τοῦ Διός, εἴ του δέοιντο, αἰτῆσαι ποιήσασθαί τινας αὐτῷ θεούς, οἵτινες τὰ

μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ.

Aristid. ii 142 Dindorf. Huc rettulit Boeckh. Cf. Choric. Gaz. p. 175 Foerster-Richtsteig

13. μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου

(i) Aristid. ii 383 Dindorf (τὸν Κάδμον φησὶν ἀκοῦσαι τοῦ Ἀπόλλωνος); (ii) Plut. *Pyth. Orac.* 6, p. 397. (iii) id. *Anim. proc.* 33 p. 1030. Huc rettulit Boeckh

14. ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων

Plut. *Quaest. Plat.* viii, 4, p. 1007. Huc rettulit Bergk ἄνακτα Heyne: ἄνα codd. τὸν supp. Hermann

15. ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν

Hephaest. p. 51, 16 Consbruch

16. κείνων λυθέντες σαῖς ὑπὸ χερσίν, ἄναξ

Hephaest. p. 51, 7 Consbruch. Hymno Thebano a Pindaro composito attribuit Schroeder

17. εἰς Ἄμμωνα

Ἄμμων Ὀλύμπου δέσποτα

(i) Paus. ix 16, 1; (ii) Schol. Pind. *Pyth.* ix 89

18. εἰς Περσεφόνην

Πότνια θεσμοφόρε χρυσάνιον

(i) Vit. Pind. Ambr. p. 2, 9 Drachmann; (ii) Paus. ix 23, 2

19. εἰς Τύχην

a. ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν.

Paus. iv 30, 6

b. τὴν δὲ Τύχην καὶ οἱ μετ' ἐκεῖνον (Numam) ἐθαύμασαν βασιλεῖς ὡς πρωτόπολιν καὶ τιθηνὸν καὶ φερέπολιν τῆς Ῥώμης ἀληθῶς κατὰ Πίνδαρον.

Plut. *de Rom. Fort.* 10, p. 322

20. οὐ μὲν γὰρ ἀπειθὴς (Τύχη) κατὰ Πίνδαρον οὐδὲ δίδυμον στρέφοισα πηδάλιον, ἀλλὰ μᾶλλον Εὐνομίας καὶ Πειθοῦς ἀδελφή.

Plut. *de Rom. Fort.* 4, p. 318 ἀπειθὴς Reiske: ἀπευθὴς codd. στρέφοισα Boeckh: στρέφουσα codd. Plut.

21. ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν.

Paus. vii 26, 8    ἀδελφεάς Schroeder

| | | | | | |
|---|---|---|---|---|---|
| 22. | t | οπο | ταν | πυ | Cod. L |
| | opirειωσ dεευρενορουνητηεφληεσσινηυνᾱ | | | | Cod. M |

Lactant. Comment. Stat. *Theb.* ii 85 Jahnke. Fragmentum conclamatum unde Schroeder Ὠγυγίων δ᾽ εὗρεν ὀρ⟨έ⟩ων ἐν τηλεφανέσσι πύ⟨ργοις⟩

23. ἀρχαιέστερον

Bekker *Anecd. Graec.* i 80, 8 (Πίνδαρος ὕμνοις)

24. ἄγριος ἔλαιος

Bekker *Anecd. Graec.* i 339, 28 (παρὰ Πινδάρῳ ἐν ὕμνοις)

25. ἐρίφων μεθομήρεον

(i) Et. Mag. 821, 59; (ii) Et. Gud. 578, 42    μεθομάρεον Schroeder

26. a. πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε καὶ τὸν Εὐρυτίωνα φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρεν.

Aristid. ii 168 Dindorf

b. ἐν ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς.

Schol. ad Aristid. iii 463

27. ταύτην δὲ (Phrixi novercam) ὁ μὲν Πίνδαρος ἐν ὕμνοις Δαμοδίκαν φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην, Φερεκύδης Θεμιστώ.

Schol. Pind. *Pyth.* iv 288    Δαμοδίκαν Boeckh : Δημοτικήν codd.

28. Exquisitam vero figuram huius rei (hyperboles crescentis) deprehendisse apud principem lyricorum Pindarum videor in libro quem inscripsit Ὕμνους. Is namque Herculis impetum

adversus Meropas, qui in insula Coo dicuntur habitasse, non igni nec ventis nec mari, sed fulmini dicit similem fuisse.

Quint. *Inst.* viii 6, 71

29. οὐκ ὀκνοῦσι δέ τινες καὶ τὸ μέχρι τοῦ Μυρτῴου πελάγους ἅπαν καλεῖν Ἑλλήσποντον, εἴπερ, ὥς φησιν ἐν τοῖς ὕμνοις Πίνδαρος, οἱ μεθ' Ἡρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον Ἕλλας πορθμόν, ἐπεὶ τῷ Μυρτῴῳ συνῆψαν, εἰς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος.

Strab. vii, fr. 58 Meineke

30. (εἰς Ἀπόλλωνα Πτώιον)

δινηθεὶς ἐπῆεν
γᾶν τε καὶ ⟨πᾶσαν⟩ θάλασσαν
καὶ σκοπιαῖσιν . . . .
. . ὀρέων ὕπερ ἔστα
καὶ μυχοὺς διζήσατο βαλλόμενος κρηπῖδας ἀλσέων.

Strab. ix 412  1 δινηθεὶς Meineke: κινηθεὶς Kramer: ὁρμαθεὶς Wilamowitz γὰρ ἐπήϊε Wilamowitz  2 γῆν codd. Strab., corr. Hermann  πᾶσαν supp. Meineke  3 σκοπιαῖσιν ἐπ' αἰπειναῖς Schroeder  5 διζήσατο Meineke, Wilamowitz: δεινάσατο cod. A Strab.: τινάξατο Schneider: ἐδύσατο Hermann

31. καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς τοῦ Πινδάρου ὕμνοις εὐκαίρως ἡμῖν διείληπται.

Schol. Aristoph. *Plut.* 9 ed. Ald.

32. καί ποτε τὸν τρικάρανον
Πτωίου κευθμῶνα κατέσχεθε ⟨κούρα⟩

Strab. ix 413  2 Πτωίου Meineke: πτώου cod. A Strab.  κούρα supp. Schroeder ex Herodian. ap. Reitzenstein *Gesch. d. gr. Etymologika* p. 305

33. Πίνδαρος δ' ἐν ὕμνοις (τὸν Πτῷον) ἀπ' Ἀπόλλωνος καὶ τῆς Ἀθάμαντος θυγατρὸς Ζευξίππης κατάγει.

Schol. Paus. ix 23, 6  κατάγει Schroeder: καταγίγνεται cod.

34. ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα

Strab. ix 413 (καὶ τὸν Τήνερον καλεῖ)

# *PAEAN I*

35. (ΘΗΒΑΙΟΙΣ)

ἀντ. πρὶν ὀδυναρὰ γήραος σ[χεδὸν μ]ολεῖν,
πρίν τις εὐθυμίᾳ σκιαζέτω
νόημ' ἄκοτον ἐπ[ὶ] μέτρα,
ἰδὼν δύναμιν οἰκόθετον

ἐπ. ἰ]ὴ ἰή, νῦν ὁ παντελὴς Ἐνιαυτὸς
6 Ὧρα[ί] τε Θεμίγονοι
πλάξ]ιππον ἄστυ Θήβας ἐπῆλθον
Ἀπόλ]λωνι δαῖτα φιλησιστέφανον ἄγοντες·
τὰ]ν δὲ λαῶν γενεὰν δαρὸν ἐρέπτοι
σώ]φρονος ἄνθεσιν εὐνομίας.

Pap. Oxy. v. 841 (= Π$^c$). Supplementa editorum primorum non nominavi. 1 ὀδυναρὰ Schroeder : ὀδυνηρὰ Π$^c$ σ[χεδὸν μ]ολεῖν Grenfell et Hunt : σ[ταθμὰ μ]ολεῖν Wilamowitz 5 Epodi initium statuit Wilamowitz 7 πλάξ]ιππον Housman : φίλ]ιππον Grenfell et Hunt : λεύκ]ιππον Diehl 10 Finis carminis

Zu den Schol. des Pap. Ox. 841 : Snell H. 73,841

## *PAEAN II*

## 36. (ΑΒΔΗΡΙΤΑΙΣ)

στρ. α′ Ναΐδ]ος Θρονίας Ἄβδηρε χαλκοθώραξ
Ποσ]ειδᾶνός τε παῖ,
σέθ]εν Ἴαονι τόνδε λαῷ [παι]ᾶνα [δι]ώξω
Δη]ρηνὸν Ἀπ[ό]λλωνα πάρ τ' Ἀφρο[δίταν . . . . .

Desunt versus 5–14.

ἐπ. α′ . . . . . . . . .
. . ατινα . . . . . ναίω
Θ[ρ]αϊκίαν γ[αῖ]αν ἀμπελό[εσ]σάν τε καὶ
εὔκαρπον· μή μοι μέγας ἕρ-
πων κάμοι ἐξοπίσω χρόνος ἔμπεδος.
νεόπολις εἰμί, ματρὸς δὲ ματέρ' ἐμᾶς ἔπιδον ἔμπαν
πολεμίῳ πυρὶ πλαγεῖσαν. εἰ δέ τις ἀρκέων φίλοις
ἐχθροῖσι τραχὺς ὑπαντιάζει,
μόχθος ἡσυχίαν φέρει καιρῷ καταβαίνων.
ἰήϊε παιάν, ἰήϊε· παιὰν [δὲ μήποτε λείπ]οι.

στρ. β′ ]ἀλκᾷ δὲ τεῖχος ἀνδρῶν
ὕψιστον ἵστατ]αι
]ρα· μάρναμαι μὰν[ δᾴο]ις·
ἕρκος δὲ Ποσ]ειδάνιο[ν γ]ένος [ἵππων μέγα
τῶν γὰρ ἀντομένων[ ]φέρεσθαι
νίκας ἔπορεν] σέλας [νεῖκος εἰ πο]τικύρσῃ
]ι μανίει[

Pap. Oxy. v. 841 (= Π$^{c}$). 4 Δηραίνου Ἀπόλλωνος schol. Lycophr. *Alex.* 440 [μολών Sitzler 16 τάνδε] ναίω Grenfell et Hunt 17 Θρηϊκίαν Diehl 19 ἔπιδον Grenfell et Hunt: ἔτεκον Π$^{c}$: ἔταφον Arnim 21 ὑπαντιάξει suprascr. Π$^{c}$ 24 ἀλκᾷ Grenfell et Hunt: αλκαι Π$^{c}$ 26 ποτὶ τὰ καρτε]ρά Arnim θαρσέων φρένα δᾴο]ις Arnim 27 supp. Bury 28 ἰσοπαλόν τι] φέρεσθαι Schroeder 29 νίκας ἔπορεν] Arnim νεῖκος εἰ supp. Schroeder 30 δαίμων δὲ κακῷ] μανίει· [τὸ φύγοιμι πάμπαν Jurenka

ἀντ. β′ λ]αὸν ἀστῶν
[ ]
]οι· τὸ δ᾽ εὐβουλίᾳ τε καὶ α[ἰδ]οῖ
ἐγκείμενο[ν] αἰεὶ θάλλει μαλακαῖς ε[ὐ]δίαι[ς·
καὶ τὸ μὲν διδότω θεός· [ὁ δ]᾽ ἐχθ[ρ]ὰ νοήσαις
ἤδη φθόνος οἴχεται τῶν πάλαι προθανόντων·
χρὴ δ᾽ ἄνδρα τοκεῦσι⟨ν⟩ φέρειν βαθύδοξον αἶσαν.

ἐπ. β′ τοὶ σὺν πολέμῳ κτησάμ[ενοι] χθόνα πολύδωρον ὄλ[βον
ἐγκατέθηκαν, πέραν Ἀ[θόω] Παιόνων
αἰχματᾶν [λαοὺς ἐλάσαν-
τε]ς ζαθέας τροφοῦ· ἄλλα [δὲ μωμένα
ἐπέπεσε μοῖρα· τλάντ[ω]ν δ᾽ ἔπειτα θεοὶ συνετέλεσσα[ν.
ὁ δὲ καλόν τι πονή[σ]αις εὐαγορίαισιν φλέγει·
κείνοις δ᾽ ὑπέρτατον ἦλθε φέγγος
ἄντα δυσμενέων Μελαμφύλλου προπάροιθεν.
ἰήϊε παιάν, ἰήϊε· παιὰν δὲ μήποτε λείποι.

στρ. γ′ ἀ]λλά νιν ποταμῷ σχεδὸν μολόντα φύρσει
βαιοῖς σὺν ἔντεσιν
ποτὶ πολὺν στρατόν· ἐν δὲ μηνὸς πρῶτον τύχεν ἆμαρ·
ἄγγελλε δὲ φοινικόπεζα λόγον παρθένος
εὐμενὴς Ἑκάτα τὸν ἐθέλοντα γενέσθαι.
ν]ῦν δ᾽ αὖ γ[λ]υκυμαχάνων

Desunt versus 52–60

ἐπ. γ′ [ ]ε, καλέοντι μολπαὶ
Δᾶλο]ν ἀν᾽ εὔοδμον ἀμφί τε Παρ[νασσ]ίαις

31 τόνδε λ]αὸν Bury 39 ενκατεθηκαν $\Pi^{c}$ Ἀ[θόω] e schol. Arnim 40 λαοὺς ἐλάσαντε]ς Arnim : τε Στρυμονίας γᾶ]ς Grenfell et Hunt [δὲ μωμένα Wilamowitz : [δυσώνυμος Housman : [δ᾽ ἄγοισά τοι Grenfell et Hunt 46 νιν Schroeder : μιν $\Pi^{c}$ φυρσει $\Pi^{c}$ : φύρσε Arnim 47 βαιὸς (sc. στρατός) Wilamowitz 49 ἄγγελλε $\Pi^{c}$: προέλεγεν schol.: ἄγγειλε Leo 51 ν]ῦν Arnim 61 Ἑκαταβόλ]ε Bury 62 Δᾶλο]ν e Housman : Πίνδο]ν Grenfell et Hunt

πέ[τρ]αις ὑψηλαῖς θαμὰ Δ[ελ-
    φ]ῶν [ἑλι]κώπ[ιδε]ς ἱστάμεναι χορὸν
ταχύ]ποδα π[αρ]θένοι χαλ[κέα] κελαδ[έον]τι γλυκὺν αὐδᾷ
νόμ]ον· ἐμο[ὶ δὲ ἑκὼ]ν ἐσ[λῶν ε]ὐκλέα [κραίνω]ν χάριν,
Ἄβδ]ηρε, καὶ στ[ρατὸν] ἱπποχάρμαν
σᾷ β]ίᾳ πολέ[μ]ῳ τελευ[ταί]ῳ προβι[β]άζοις.
ἰήϊε παιάν, ἰ]ήϊε· παιὰν [δὲ μήποτε λεί]ποι.

65 δὲ ἑκὼ]ν Grenfell et Hunt : δ' ἐπέ]ων Arnim [κραίνω]ν Grenfell et Hunt : [πρᾶξο]ν Arnim 67 σᾷ β]ίᾳ Bury : οὐρ]ίᾳ Blass : εὐδ]ίᾳ Arnim

## *PAEAN III*

37. (ΕΙΣ ΠΥΘΩ)

]ν ἀγλαο-
]ναι Χάριτε[ς]
. [
ιει . [. .]οζ
ἀγλαϊᾶν τ[
ματέρ[
ναὸν ο[
καὶ θυόε[ντα
βωμὸν [
ὀκτὼ κ[
ὑψόθεν [
ἀοιδαῖς ἐν εὐπλε[κέσιν
γάρυι, τ[ὶ]ν δέ, Χρυσο[κόμα
ὥριον ποτὶ χρόνον [
θεᾶς θ' ἑλικάμπυκ[ος
ἐλαύν[ε]ις ἀν' ἄμβροτ[ον
φαεννὸς αἰθὴρ

Desunt versus 18–92

]ν σθένος ἱερὰν
χαλκ]έοπ' αὐλῶν ὀμφὰν
]λος
] θυόντων
] .
] .
]ολατ[
]υ . τῃ·
]δο[.]εχορὸν
]

Pap. Oxy. v. 841 (= Π$^c$)   12 supp. Schroeder   13 *Χρυσοκόμα, χάριν* Schroeder

38. (ΚΕΙΟΙΣ)

στρ. α′ [Τὸν ἀκερσεκόμαν τε καὶ] Ἄρτεμιν·
[ χορε]ύσομαι
[ ]ος αὐδάν·
[ γυν]αικῶν ἑδνώσεται·
[ ]. δ' ἐπέων δυνατώτερον·
[ ]ᾱ κατὰ πᾶσαν ὁδὸν
[ ἡ]συχίαν
Κέῳ [ ]
[ β]άλλεται·

ἀντ. α′ [ ]ν χρόνον ὀρνύει
[ ] Δᾶλον ἀγακλέα
[ ] Χάρισι· Κάρθαι[α
ἐλα]χύνωτον στέρνον χθονός,
[ὅμως γε μὰν οὔτοι] νιν Βαβυλῶνος ἀμείψομαι·
[ πεδ]έχειν πεδίων·
[ ]οι·
θεῶν [ ]
[ ]ρη· . [ ]ν ἰχθύσιν·

ἐπ. α′ ἤτοι καὶ ἐγὼ σ[κόπ]ελον ναίων διαγινώσκομαι
μὲν ἀρεταῖς ἀέθλων
Ἑλλανίσιν, γινώσκ[ο]μα[ι] δὲ καὶ
μοῖσαν παρέχων ἅλις·
ε]ἰ καί τι Διω[νύσ]οι' ἄρ[ου]ρα φέρει
βιόδωρον ἀμαχανίας ἄκος.

Pap. Oxy. v. 841 (=Π°) 1 suppl. Blass 2 ὦ Δᾶλε Λατώ τε χορε]ύσομαι Blass 4 ἐδνώσατο v. l. schol. 6–7 ὁδὸν [σοφίας] Sitzler 9 β]άλλεται Grenfell et Hunt : ἀγ]άλλεται Sitzler 10 ἐμὲ δ' ἐς ζαθεὸ]ν Sitzler 13 ἐλα]χύνωτον vel βρα]χύνωτον Grenfell et Hunt 14 suppl. Grenfell et Hunt 15 πεδέχειν Grenfell et Hunt 19 σκόπελον Grenfell et Hunt 22 εἰ Wilamowitz : ἤ Grenfell et Hunt Διω[νύσ]οι' P. Maas : Διω[νύσ]ου Nairn

ἄνιππός εἰμι καὶ βουνομίας ἀδαέστερος·
ἀλλ' ὅ γε Μέλαμπος οὐκ ἤθελεν
λιπὼν πατρ[ί]δα μο[να]ρχε[ῖν] Ἄργει
θέμενος οἰ[ω]νοπόλον γέρας.
ἰὴ ἰή, ὦ ἰεπα[ιάν.

στρ. β' τὸ δέ οἴκοθε[ν] ἄστυ κα[ὶ ἑστία
καὶ συγγένει' ἀνδρὶ φ[ερέγγυα
στέρξαι· ματ[αί]ων δ' ἔ[πλετ' ἔρως
τῶν] ἑκὰς ἐόντων· λόγο[ν ἄν]ακτος Εὐξαν[τίου
ἐπαίνεσα, [Κρητ]ῶν μαιομένων ὃς ἀνα[ίνετο
αὐταρχεῖν, πολίων δ' ἑκατὸν πεδέχει[ν
μέρος ἕβδομον Πασιφ[ά]ας
⟨σὺν⟩ υἱ[οῖ]σι· τέρας δ' ἐὸν εἶπέν σφι.
"τρέω τοι πόλεμον Διὸς Ἐννοσίδαν τε βαρ[ύ]κτυπον,

ἀντ. β' χθόνα τοί ποτε καὶ στρατὸν ἀθρόον
πέμψαν κεραυνῷ τριόδοντί τε
ἐς τὸν βαθὺν Τάρταρον, ἐμὰν
ματέρα λιπόντες καὶ ὅλον οἶκον εὐερκέα.
ἔπειτα πλούτου πειρῶν μακάρων ἐπιχώριον
τεθμὸν π[ά]μπαν ἐρῆμον ἀπωσάμενος
μέγαν ἄλλοθι κλᾶρον ἔχω;
λίαν μοι [δέο]ς ἔμπεδον εἴη κεν.
ἔα, φρήν, κυπάρισσον, ἔα δὲ νομὸν περιδάϊον.

ἐπ. β' ἐμοὶ δ' ὀλίγον δέδοται γαίας, ὅθεν ἄδρυς, πόνων
δ' ἔλαχον οὔτε νεικέων".

29 κα[ὶ ἑστία Wilamowitz : κα[ὶ ἅλικες Grenfell et Hunt 30 φ[ερέγγυα Wilamowitz : φ[ίλ' ὥστε καὶ Grenfell et Hunt 31 ματ[αί]ων δ' ἔ[πλετ' ἔρως τῶν Housman : μάτ[αι]ον δ' ἔ[ρον ἐπισχὼν Wilamowitz 33 [Κρητ]ῶν Housman 36 σὺν υἱ[οῖ]σι Housman : ἐξ ὑι[έσ]σι Wilamowitz 37 Ἐννοσίδα Wilamowitz 42 τ' post μακάρων pap. secunda manu 45 [δέο]ς Housman 46–8 Plut. *de Exil.* 9, p. 602 46 περιδαῖον Wilamowitz : Περιδάϊον Schroeder 47 δέδοται γαίας Schroeder : μὲν γᾶς δέδοται Plut. ὅθεν ἄδρυς vix sanum : ὅθεν ἁδρός Schroeder : ὅθεν ἁ δρῦς Reiske πόνων δ' ἔλαχον Schroeder : πενθέων δ' οὐκ ἔλαχον Plut. οὔτε νεικέων Schroeder : οὐδὲ στασίων Plut.

# *PAEAN V*

## (ΕΙΣ ΔΗΛΟΝ)

[ ]
. . . . . . . Εὔ-
βοιαν ἕλον καὶ ἔνασσαν·

στρ. ζ′ ἰήϊε Δάλι' Ἄπολλον·
καὶ σποράδας φερεμήλους
ἔκτισαν νάσους ἐρικυδέα τ' ἔσχον
Δᾶλον, ἐπεί σφιν Ἀπόλλων
δῶκεν ὁ χρυσοκόμας
Ἀστερίας δέμας οἰκεῖν·

στρ. η′ ἰήϊε Δάλι' Ἄπολλον·
Λατόος ἔνθα με παῖδες
εὐμενεῖ δέξασθε νόῳ θεράποντα
ὑμέτερον κελαδεννᾷ
σὺν μελιγάρυϊ παι-
ᾶνος ἀγακλέος ὀμφᾷ.

Pap. Oxy. v. 841 (= Π$^{c}$). Exstat e strophis α′–δ′ nihil praeter versuum litteras initiales, e stropha ε′ nihil, e stropha ϛ′ parum 34 ἀπὸ Ἀθηναίων schol. : ἀπ' Ἀθηνᾶν Schroeder 38 πολυμάλους schol.

## *PAEAN VI*

## 40. (ΔΕΛΦΟΙΣ ΕΙΣ ΠΥΘΩ)

στρ. α′ Πρὸς Ὀλυμπίου Διός σε, χρυ[σέ]α
    κλυτόμαντι Πυθοῖ,
λίσσομαι Χαρίτεσ-
    σί⟨ν⟩ τε καὶ σὺν Ἀφροδίτᾳ,
ἐν ζαθέῳ με δέξαι χρόνῳ
ἀοίδιμον Πιερίδων προφάταν.
ὕδατι γὰρ ἐπὶ χαλκοπύλῳ
    ψόφον ἀΐων Κασταλίας
ὀρφανὸν ἀνδρῶν χορεύσιος ἦλθον
ἔταις ἀμαχανίαν ἀ[λ]έξων
    τεοῖσιν ἐμαῖς τε τιμ[α]ῖς·
ἤτορι δὲ φίλῳ
    παῖς ἅτε ματέρι κεδνᾷ
    πειθόμενος κατέβαν στεφάνων
    καὶ θαλιᾶν τροφὸν ἄλσος Ἀπόλ-
    λωνος, τόθι Λατοΐδαν
    θαμινὰ Δελφῶν κόραι
χθονὸς ὀμφαλὸν πάρα
    σκιάεντα μελπ[ό]μεναι
18 ποδὶ κροτέο[ντι γᾶν θοῷ]

Desunt versus 19–49

ἐπ. α′ καὶ πόθεν ἀθαν[άτ . . . . . ἄ]ρξατο.
51 ταῦτα θεοῖσι [μ]ὲν
πιθεῖν σοφοὺ[ς] δυνατόν,
βροτοῖσι⟨ν⟩ δ' ἀμάχανο[ν εὑ]ρέμεν·
    ἀλλὰ παρθένοι γὰρ ἴστ[ε] ⟨γε⟩ Μο[ῖ]σα[ι]

(i) Pap. Oxy. v. 841 (=$\Pi^{c}$); (ii) P.S.I. 147 (=$\Pi^{d}$)    1–6 cit. Aristides *Orat.* xxviii 58    8 αϊων $\Pi^{c}$, corr. Grenfell et Hunt    17 σκιάεντα Housman: σκιοεντα $\Pi^{c}$    18 κροτέο[ντι Grenfell et Hunt: κροτεῦ[ $\Pi^{c}$    50 ἀθαν[άτων ἔρις ἄρ]ξατο Bury: ἀθάν[ατον γέρας ἄρ]ξατο Sitzler    54 ἴσ{σ}τ[ε] $\Pi^{d}$: ἴστ[ε] γε Schroeder: ἴσατε Wilamowitz: ἴσθ' ὅτι Jurenka

πάντα, κε[λαι]νεφεῖ σὺν
πατρὶ Μναμοσ[ύν]ᾳ τε
τοῦτον ἔσχετ[ε τεθ]μόν.
κλῦτε νῦν. ἔρα[ται] δέ μο[ι
γλῶσσα μέλιτος ἄωτον
γλυκὺν [
ἀγῶνα Λοξίᾳ καταβάντ'
εὐρὺν ἐν θεῶν ξενίᾳ.

στρ. β′ θύεται γὰρ ἀγλαᾶς ὑπὲρ Πανελ-
λάδος, ἅντε Δελφῶν
ἔθ[ν]ος εὔξατο λι-
μοῦ σ[
εὐδ[
φιλε[
Κρόν[
πρύτα[νι
τοι πα[
χρησ[τ]η[ρι
Πυ]θωνόθεν [
καί ποτε[
Πάνθοο[ς
δες Τροΐα [
ἤνεγκε [
δεα πάϊς [
] ὃν ἐμ-
βα[λὼν ἰὸν ἔσχε μάχας
Πάρ[ι]ος ἑ[καβόλος βροτη-]
σίῳ δέμαϊ θεός·

59 καταλείβειν Wilamowitz : παραπέμπειν Schroeder : κελαδῆσαι Grenfell et Hunt 66 ε̣κ̣δ $Π^d$ 68–9 Κρόν[ιε βαρυόπα στεροπᾶν] πρύτα[νι κεραυνῶν τε Tosi 75 Τροΐα Grenfell et Hunt : Τρωία $Π^c$ 77 πάϊς [Πηλέος Sitzler : Διομή]δεα πάϊς Grenfell et Hunt 78, 79 supp. Grenfell et Hunt

Ἰλίου δὲ θῆκεν ἄφαρ
ὀψιτέραν ἅλωσιν,

ἀντ. β′ κυανοπλόκοιο παῖδα ποντίας
Θέτιος βιατάν,
πιστὸν ἕρκος Ἀχαι-
ῶν, θρασεῖ φόνῳ πεδάσαις·
ὅσσα τ᾽ ἔριξε λευκωλένῳ
ἄκναμπτον Ἥρᾳ μένος ἀν[τ]ερείδων
ὅσα τε Πολιάδι· πρὸ πόνων
δέ κε μεγάλων Δαρδανίαν
ἔπραθεν, εἰ μὴ φύλασσεν Ἀπό[λ]λ[ω]ν·
νέφεσσι δὲ χρυσέοις Ὀλύμποι-
ο καὶ κορυφα[ῖσι]ν ἵζων
μόρσιμ᾽ ἀνα[λ]ύεν
Ζεὺς ὁ θεῶν σκοπὸς οὐ τόλ-
μα· περὶ δ᾽ ὑψικόμῳ [Ἑ]λένᾳ
χρῆν ἄρα Πέργαμον εὐρὺ[ν] ἀι-
στῶσαι σέλας αἰθομένου
πυρός· ἐπεὶ δ᾽ ἄλκιμον
νέκυν [ἐ]ν τά[φῳ] πολυ-
στόνῳ θέντο Πηλεΐδα,
ἁλὸς ἐπὶ κῦμα βάντες [ἦ]λ-
θον ἄγγελο[ι] ὀπίσω
Σκυρόθεν Ν[ε]οπτόλεμ[ον
εὐρυβίαν ἄγοντες,

ἐπ. β′ ὃς διέπερσεν Ἰλίου πόλ[ιν·
ἀλλ᾽ οὔτε ματέρ᾽ ἔπειτα [κ]εδνὰν
ἔϊδεν οὔτε πατρωΐο[ι]ς ἐν ἀρο[ύραις

81 ιλιωι, supra ου Π[c] 88 ἄκαμπτον Schroeder 89 ὅσα τε Grenfell et Hunt : ὅσσα τε Π[c] marg. 91 ἔπραθεν Π[c] : ἔπραθον Bury 94 τολμᾷ Wilamowitz 96–7 εὐρὺ[ν] ἀιστῶσαι Schroeder : εὐρὺ [δ]ιαστῶσαι Grenfell et Hunt 97 αἰθομένου Grenfell et Hunt : αιθομενοσ Π[c] 101 ἄγγελοι β᾽ ὀπίσω Sitzler 106 πατρωιαις Π[d]

ἵππους Μυρμιδόνων,
χαλκοκορυ[στ]ὰν [ὅ]μιλον, ἔγε[ιρε.
σχεδὸν δ[ὲ Το]μάρου Μολοσσίδα γα[ῖ]αν
ἐξίκετ', οὐδ[' ἀ]νέμους ἔ[λαθ]εν
οὐδὲ τὸν εὐρυφαρέτραν ἑκαβόλον.
ὤ[μο]σε [γὰρ θ]εός,
γε[ραιὸ]ν ὃς Πρίαμον
π[ρ]ὸς ἑρκεῖον ἤναρε βωμὸν ἐ[π-
εν]θορόντα, μή νιν εὔφρον' ἐς οἶ[κ]ον
[μ]ήτ' ἐπὶ γῆρας ἱξέ-
μεν βίου· ἀμφιπόλοις δὲ
κ]υρ[ιᾶν] περὶ τιμᾶν
[δηρι]αζόμενον κτάνεν
ἐν τεμέ]νεϊ φίλῳ γᾶς παρ' ὀμφαλὸν εὐρύν.
Ἰὴ ἰή τε] νῦν, μέτρα παιηό-
ν]ων ἰή τε, νέο[ι.

στρ. γ' [ὀνο]μακλύτα γ' ἔνεσσι Δωριεῖ
μ[ε]δέοισα [πό]ντῳ
νᾶσος, [ὦ] Διὸς Ἑλ-
λανίου φαεννὸν ἄστρον.
οὕνεκεν οὔ σε παιηόνων
ἄδορπον εὐνάξομεν, ἀλλ' ἀοιδᾶν
ῥόθια δεκομένα κατερεῖς
πόθεν ἔλαβες ναυπρύτανιν
δαίμονα καὶ τὰν θεμίξενον ἀρετ[άν.
ὁ πάντα τοι τά τε καὶ τὰ τεύχων
σὸν ἐγγυάλιξεν ὄλβον

108 εγε[ Π^c : εγ[. . .]ων Π^d : ἐγείρων Wilamowitz 112 ὤμοσε [γὰρ θ]εός Housman : ὤμοσε[ν δὲ θ]εός Schroeder 115 νιν Schroeder : μιν Π^c οἶκον Housman : οἶμον Grenfell et Hunt 118 κυριᾶν Housman : μυρίαν schol. ad *Nem.* vii 94, e quo μοιριᾶν Boeckh : Πυθιᾶν Zenodotus 119 κτάνεν ἐν Grenfell et Hunt : κτανεῖν Π^c : κτανέμεν Zenodotus 129 δεκομένα Π^d : δεχομένα Π^c

εὐρύο[πα] Κρόνου
παῖς, ὑδάτ⟨εσσ⟩ι δ' [ἐ]π' Ἀσ[ω-
ποῦ π[οτ' ἀ]πὸ προθύρων βαθύκολ-
πον ἀ[να]ρέψατο παρθένον Αἴ-
γιναν· τότε χρύσεαι ἀ-
έρος ἔκρυψαν κόμ[α]ι
ἐπιχώριον κατά-
σκιον νῶτον ὑμέτερον
ἵνα λεχέων ἐπ' ἀμβρότων

Supersunt frustula tantum versuum 141–75 Snell H. 73, 426

ἐπ. γ′ ]ειν ἀπείρονας ἀρετὰς
]τε[
]πόλιν Τροΐαν· φι[
]α λαὸν
]γον[· στεφά]νοισι πᾶν
εὐ]θαλέος ὑγιείας σκιάζετε· Μοισᾶν
ἐ]παβολ[ ] πολλάκι· παιὰν δὲ
γ' ἐννόμων ε[ὐ]άν

134 ὑδάτεσσι Grenfell et Hunt: υδατι Π$^{c}$ 135-6 βαθυκόλπων ἀ[νέ]ρεψατο P. Maas 138 ἔκρυψαν Grenfell et Hunt: εκρυψαταν Π$^{c}$ 180 e schol. Schroeder 183 εννομων Π$^{d}$: ε[νδί]κων schol. Π$^{c}$

## 41. (ΘΗΒΑΙΟΙΣ ΕΙΣ ΠΤΩΙΟΝ?)

στρ. α′ Μαντευμάτων τε θεσπεσίων δοτῆρα
καὶ τελεσσιε[πῆ] θεοῦ
ἄδυτον ἀγλαάν τ' ἐς αὐλὰν
'Ωκεανοῖο . . . . . . Μελίας
'Απόλλωνί γ' [
ὀρ⟨ε⟩ιδρόμον[
συν ἀπιομ[. . .]ει φιλα[
γαν[.]ειν το[. . .]ν δὲ [
χέων ῥαθάμιγγα[ς
Χαρίτεσσι μοι ἀγχιθ[
γλυκὺν κατ' αὖλον αἰθερ[
ἰόντι τηλαυγέ' ἂν κορυφὰν

ἀντ. α′ ἥρωα Τήνερον λέγομεν[
]α ταύρων ει[
]ν πρὸ βωμ[
]οιτ[.]τ[.]μο[. . . .]παρο[
. . . κελά]δησαν αὐδάν·
. . . εὐ]αντέσι χρηστήριον

(i) Pap. Oxy. v. 841 (=Π$^{e}$); (ii) P.S.I. 147 (=Π$^{d}$) 2 τελεσσιε[πῆ] Wilamowitz: τελεσσίε[ρον παιᾶνα] Puech

**42.**

a. ἐπεύχομαι] δ' Οὐρανοῦ τ' εὐπέπλῳ θυγατρὶ
Μναμ[ο]σύ[ν]ᾳ κόρα[ι]σι τ', εὐμαχανίαν διδόμεν.
τ]υφλα[ὶ γὰ]ρ ἀνδρῶν φρένες,
ὅ]στις ἄνευθ' Ἑλικωνιάδων
βαθεῖαν ἐλθ[. .]των ἐρευν[ᾷ σ]οφίαις ὁδόν·
ἐμοὶ δὲ τοῦτο[ν δ]ιέδω[καν] ἀθάνατ[ο]ν πόνον

b. ε]ὐνᾶς· τί πείσομα[ι . . .
ἤ Διὸς οὐκ ἐθέλο[ισα . . .
Κοίου θυγάτηρ π[
ἄπιστά μ[ο]ι δέδο[ι]κα κα . [
δέ νιν ἐν πέλ[α]γος
ῥιφθεῖσαν εὐαγέα πέτραν φανῆναι·
καλ[έ]οντί νιν Ὀρτυγίαν ναῦται πάλαι.
πεφόρητο δ' ἐπ' Αἰγαῖον θαμά·
ἆς ὁ κάρτιστος
ἐράσσατο μειχθεὶς
τοξοφόρον τελέσαι γόνον·

Pap. Oxy. v. 841 (= $\Pi^c$). 1 ἐπεύχομαι supp. Schroeder 5 εὐ[θρόν]ων? Schroeder 7 πειθομαι suprascr. $\Pi^c$ Asteriam loqui apparet 10 φάτις δέ νιν Wilamowitz πελ[.]γε[ $\Pi^c$ : αν suprascr., corr. Wilamowitz 11 ευᾰγεα $\Pi^c$ 14 ἆς (= ἕως) Grenfell et Hunt : τᾶς $\Pi^c$ linearum ante fr. (a) ix, ante fr. (b) xix, frustula neglexi

# *PAEAN VIII*

## 43. (ΘΗΒΑΙΟΙΣ)

a. σπεύδοντ', ἔκλαγξέ θ' ἱερ[ᾶς κόρας
δαιμόνιον κέαρ ὀλοαῖσι στοναχαῖς ἄφαρ,
καὶ τοιᾷδε κορυφᾷ
σάμαινεν λόγων·
"ὦ πανάπ[ειρον εὐ]ρ[ύ]οπα Κρονίων,
τελεῖς σ[ὺ νῦν τὰν πάλαι
πε[π]ρωμέναν πάθαν,
ἁνίκα Δαρδανίδαις Ἑκάβ[α φράσεν ὄψιν,
[ἅν] ποτ' εἶδεν ὑπὸ σπλάγχ[νοις
φέροισα τόνδ' ἀνέρ'· ἔδοξ[ε δὲ
τεκεῖν πυρφόρον ἐρι[νὺν
ἑκατόγχειρα σκληρᾷ [δὲ βίᾳ
Ἴλιον πᾶσάν νιν ἐπὶ π[έδον
κατερεῖψαι." ἔειπε δέ· [
σὺν δίκ]ᾳ τέρας ὑπνα[λέον
ἔσφαλε] δὲ προμάθεια . . .

b. π]ὰν δ' ἔπος
κλιθεῖ[σ'] ἐκο[ινάσατο] σφί-
σιν μάλα πρᾶξον [δι]καίως·
κλυτοὶ μάντι[ες] Ἀπόλ-
λωνος, [ἐ]γὼ μὲν ὑπὲρ χθονὸς
ὑ]πέρ τ' ὠκεα[νο]ῦ

Pap. Oxy. v. 841 (= Π^c) 1 ἱερᾶς κόρας Robert: ἱερὰν ὄπα Sitzler: ἱερώτατον Grenfell et Hunt 4 λόγων Π^c corr.: λόγον Π^c in textu 11 ἐρι[νὺν Grenfell et Hunt: ἐρι[σφάραγον Robert 13 πέδον Grenfell et Hunt 14 δὲ [μάντις Schroeder: δὲ [Αἴσακος ? Diehl 15 σὺν δί]κᾳ supp. Schroeder ὑπνα[λέον Sitzler 16 ἔσφαλε] δὲ Schroeder: ἀλλ' ἔσφα]λε Sitzler

## *PAEAN IX*

44. (ΘΗΒΑΙΟΙΣ)

στρ. α′ Ἀκτὶς ἀελίου, τί πολύσκοπ᾽ ἐμήσαο,
ὦ μᾶτερ ὀμμάτων, ἄστρον ὑπέρτατον
ἐν ἁμέρᾳ κλεπτόμενον; ⟨τί δ᾽⟩ ἔθηκας ἀμάχανον
ἰσχύν τ᾽ ἀνδράσι καὶ σοφίας ὁδὸν
ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα;
ἐλαύνεις τι νεώτερον ἢ πάρος;
ἀλλά σε πρὸς Διός, ἱπποσόα θοάς,
ἱκετεύω, ἀπήμονα
εἰς ὄλβον τινὰ τράποιο Θήβαις,
ὦ πότνια, πάγκοινον τέρας.

ἀντ. α′ ]ρα[
[ ]
]ῶνοσ[ ], πολέμοιο δὲ σᾶμα φέρεις τινός,
ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος
ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,
ἢ πόντου κενέωσιν ἄρ᾽ ἂμ πέδον,
ἢ παγετὸν χθονός, ἢ νότιον θέρος
ὕδατι ζακότῳ ῥέον,
ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος;

ἐπ. α′ ὀλοφύ[ρομαι οὐ]δέν, ὅ τι πάντων μέτα πείσομαι

Desunt versus 22–33

(i) 1–21 Dion. Hal. *Dem.* 7 (i 142 Usener-Radermacher); (ii) 9–11, 13–18, 34–49 Pap. Oxy. v. 841 (= Π[c]) 1 ἐμήσαο Bergk : ἐμῆς θεῷ μ᾽ ἄτερ codd. 3 τί δ᾽ supp. Diehl 4 ἰσχὺν τ᾽ ἀνδράσι⟨ν⟩ Blass : ἰσχὲ(ὺ)ν πτανὸν ἀνδράσι codd. 5 ἐπίσκοτον cod. M[s] : ἐπίσκοπον M[1] ἐσσυμένα Schneider : ἐσσαμένα codd. 6 ἐλαύνεις T : ἐλαύνειν P : ἐλαύνει B 7 ἱπποσόα Bergk, θοάς Blass : ἵππος θαθοὰς codd. 13 πολέμοιο δὲ σᾶμα Scaliger : πολέμου δὶς ἅμα codd. 16 ἄρ᾽ ἂμ Blass : ἀλλὰ codd. : ἀνὼ Sitzler : ἀναὶ Wilamowitz 18 ῥέον Schroeder : ἱερόν codd. : διερόν Scaliger 19 θήσεις Barnes : θήσει codd.

στρ. β′ ἐκράνθην ὑπὸ δαιμονίῳ τινὶ
λέχει πέλας ἀμβροσίῳ Μελίας
ἀγαυὸν καλάμῳ συνάγεν θρόον
μήδεσί τε φρενὸς ὑμ[ε]τέραν χάριν.
λιτανεύω, ἑκαβόλε,
Μοισαίαις ἀν[α]τιθεὶς τέχνα[ισ]ιν
χρηστήριον, [ὤπολ]λον, τ[εό]ν,

ἀντ. β′ ἐν ᾧ Τήνερον εὐρυβίαν θεμίτ[ων ποτὲ
ἐξαίρετον προφάταν ἔτεκ[εν λέχει
κόρα μ[ι]γεῖσ' Ὠκεανοῦ Μελία σέο, Πύθι[ε.
τῷ] Καδμοῦ στρατὸν καὶ Ζεάθου πό[λιν,
ἀκερσεκόμα πάτερ, ἀνορέας
ἐπέτρεψας ἕκατι σαόφρονος.
καὶ γὰρ ὁ πόντιος Ὀρσ[οτ]ρίαινά νιν
περίαλλα βροτῶν τίεν,
Εὐρίπου τε συνέτεινε χῶρον

37 μήδεσί Grenfell et Hunt : μήδεσσί Π$^c$ 38 Ἑκαβόλε Grenfell et Hunt : εκαταβολε Π$^c$ 40 ὤπολλον Grenfell et Hunt : ἄντειλον ? Diehl τεόν Grenfell et Hunt : τόθι Bury : τ' ὀπί Blass 41 supp. Grenfell et Hunt

45·

### Col. i

. .]κε[
καὶ χ[
ἐνάτ[α
Στυ[γὸς
βέν[θ
ἅπας στ[. . . . . .]ξο . [

### Col. ii

γναμπτ[
ψαντες αι[
πατὴρ δει[
καὶ χρυσο[
ἁγήσεται· τ[
πολιάοχ[
ἀστοῖσι τε[
ξενοκαδ[
τακ[
εστα[
ἐμὸν [
τὶν μὲ[ν πά]ρ μιν ἱμ[. . .
ἐμὶν δὲ πὰ[ρ] κείνοι[ς . . .
ζευχθεῖσα π[ρ]οβώμ[ιος
υἱὸν ἔτι τέξ[ε]ι· τὸν α . [
κλυτομάντιες τῷ δ[

Pap. Oxy. v 841 (= Π$^{c}$)

46. ναὸν τὸν μὲν Ὑπερβορ[έαις
αὔραις ζαμενὴς ἔμειξ[εν,
ὦ Μοῖσαι, τοῦ δὲ παντέχ[νοισιν
Ἁφαίστου παλάμαις καὶ Ἀθ[ά-
νας] τίς ὁ ῥυθμὸς ἐφαίνετο;
χάλκεοι μὲν τοῖχοι, χάλκεαι θ'
ὑπὸ κίονες ἕστασ[αν·
χρύσεαι δ' ἐξ ὑπὲρ αἰετοῦ
ἄειδον Κηληδόνες·
ἀλλά νιν ηρονετη . [
κεραυνῷ χθόν' ἀνο[ίξαις
Ζεὺς] ἔκρ[υ]ψεν [ἀπ]άντως
γλυκεῖαι Διὸς αγλ[
ὅτι ξενο . φ . υνον[
ἄτερθεν τε . . αν[
. λο . . . τεμενο[
μονανα . κημανι[
λυσίμβροτον π[
ἀκηράτων δαιδα[λ
. . . .]νελ[

cf Snell H. 73, 435

(i) Pap. Oxy. xv 1791 (= $\Pi^{e}$); (ii) 8–9 Paus. x 5. 12     1 τὸν Hunt : του fort. $\Pi^{e}$     2 αὔραις legit Schroeder     3 τοῦ Hunt : τον $\Pi^{e}$     8 εξυπερ $\Pi^{e}$: ἐξύπερθ' Bergk     10 η in ηρον- parum certum     11 ἀνοίξαις Schroeder     13 Διὸς incertum     15 τεαν αν vel τεχναν legi posse existimat Hunt     16 τεμένους fortasse legi posse admonet Hunt

47\. . . . . . . .]με[
. . . .]οισιν ἐν νε[
. .]αλα δ' Ἀρτέμιδ[. . . . . ]ονας [
λέχος ἀμφεπό[λει . .]α τοιαυτ[
.]υμνήσιος δρεπ[. .], ἅμα δὲ φ[
Ναξόθεν λιπαροτρόφων θυσί[ας
μή]λων Χαρίτεσσι μίγδαν
Κύ]νθιον παρὰ κρημνόν, ἔνθα
κελαινεφέ' ἀργιβρένταν λέγο[ντι
Ζῆνα καθεζόμενον κορυφαῖ-
σιν ὕπερθε φυλάξ[αι χρ]όνον,
ἁνίκ' ἀγανόφρων
Κοίου θυγάτηρ λύετο τερπνᾶς
ὠδῖνος. ἔλαμψεν
δ' ἀελίου δέμας ὅπω[ς
ἀγλαὸν ἐς φάος ἴοντες δίδυμοι
παῖδες, πολὺν ῥόθ[ο]ν ἵεσαν ἀπὸ στομ[άτων
Ἐ]λείθυιά τε καὶ Λά[χ]εσις·
τέλε[ι]αι δ' ολ[
κατελάμβανον
. .]εφθέγξαντο δ' ἐγχώριαι

Pap. Oxy. xv 1792 (=Π^f). 9 λέγο[ντι Schroeder 13 ὅπω[ς P. Maas: οπο[ Π^f 20–4 restant frustula

48\. Δωδωναῖε μεγασθενές,
ἀριστότεχνα πάτερ . . . .
δαμιοργὸς εὐνομίας καὶ δίκας

(i) 1–2 Dio. Chrys. *Or.* xii 81–2; (ii) 3 Plut. *Praec. Reip. Ger.* 13, p. 807; (iii) 3 Plut. *de Ser. Num. Vind.* 4, p. 550

49\. Εὐριπίδης δὲ τρεῖς γεγονέναι φησὶν αὐτάς (sacerdotes Dodoneas)· οἱ δὲ δύο, καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι

Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν δὲ εἰς τὸ περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος παιᾶσιν.

Schol. Soph. *Trach.* 172 3 δὲ εἰς τὸ supp. Brunck

50. τί ἔλπεαι σοφίαν
ἔμμεν, ἃ τ' ὀλίγον τοι
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἴσχει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν
βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί.

Stob. *Anth.* ii, p. 4, Wachsmuth 2 ἔμμεν Bergk : εἶναι Stob. τ' supp. Boeckh 3 ἴσχει cod. Stob. L : ἰσχύει rell. 5 ἐρευνάσει Boeckh : ἐρευνᾶσαι Stob. F : ἐρευνῆσαι Stob. PL

51. εἴληφε δὲ τὰ περὶ τῶν ἁλκυόνων παρὰ Πινδάρου ἐκ παιάνων. εὐλόγως δὲ ὄσσαν εἶπε τὴν ἁλκυόνος φωνήν· ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι Πίνδαρος.

Schol. Ap. Rhod. *Arg.* i 1086

52. Ὄλυμπον γὰρ πρῶτον Ἀριστόξενος ἐν τῷ πρώτῳ περὶ μουσικῆς ἐπὶ τῷ Πύθωνί φησιν ἐπικήδειον αὐλῆσαι Λυδιστί. εἰσὶ δ' οἱ Μελανιππίδην τούτου τοῦ μέλους ἄρξαι φασί. Πίνδαρος δ' ἐν παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι.

Ps.-Plut. *de Mus.* 15, p. 1136

53. a. Ἀλκμὰν δέκα φησί (Niobae liberos), Μίμνερμος εἴκοσι καὶ Πίνδαρος τοσούτους.

Ael. *V.H.* xii 36

b. Sappho bis novenos (sc. pueros puellasque Niobae fuisse dicit), Bacchylides et Pindarus bis denos.

Aul. Gell. xx 7

54. Generum vero pro marito positum multi accipiunt iuxta Sappho, quae in libro, qui inscribitur Ἐπιθαλάμια, ait χαῖρε νύμφα, χαῖρε τίμιε γάμβρε πολλά· ἀντὶ τοῦ νυμφίε. sic et Pindarus ἐν τοῖς παιᾶσιν.

Serv. ad Verg. *Georg.* i 31

55. Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι τοῦ πρώτου τῶν παιάνων Πίνδαρον φησίν·— καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς τὸ Ἰσμήνιον πρῶτον.

Ammonius *Diff. affin. voc.* p. 70  τοῦ πρώτου Wilamowitz : τῷ πρώτῳ codd. τὸ Ἰσμήνιον Valckenaer : Ἰσμηνόν codd.

56. περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστι.

Schol. Pind. *Ol.* i 26

57. ἐν δὲ τοῖς παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει· Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων.

Schol. Pind. *Ol.* ii 70

58. ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, τῇ Πυθοῖ . . . ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν παιᾶσιν εἴρηται.

Schol. Pind. *Pyth.* vi 5

59. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται· εἴρηται δὲ καὶ ἐν παιᾶσι περὶ αὐλητικῆς.

Schol. Pind. *Pyth.* xii 44

## 60. (ΑΡΓΕΙΟΙΣ)

ἐπ. ] ἀπὸ Δανα[
]ν λεγόντων [
]ιον ἄνακτα[
]λειβόμενον δ . [
]υσε πατέρα Γοργόν[ων
Κυ]κλώπων, πόλις ἆ[ρα οἱ
]ν ἐν Ἄργει μεγάλῳ . . [
ἵπ]ποι ζυγέντες ἐρατᾷ δόμον
]ντ' Ἄβαντος
]λεεν·

στρ. εὐ]δαιμόνων βρομιάδι θοίνᾳ πρέπει
] κορυφὰν
]θέμεν· εὐάμπυκες
ἀέ]ξετ' ἔτι, Μοῖσαι, θάλος ἀοιδᾶν.
ὔμμι] γὰρ εὔχομαι. λέγοντι δὲ βροτοὶ
]α φυγόντα νιν καὶ μέλαν ἕρκος ἅλμας
] Φόρκοιο, σύγγονων πατέρων,
]ν
]πον τ' ἔμολον
] . ιαν ἐὰν
]ρωμενον
]ιον
. . . . . . . .
. . . . . . . .

ἀντ. ]εραν
. . . . . . . .
. . . . . . . .
. . . . . . . .
]ις

]ις
ἀσπ]ασίως
]
] τελεταῖς
]αν
] . ναίατο
] μαν θάνατον
]
]λαις

Pap. Oxy. 1604 (= $\Pi^8$) 3 Ἀκρίσ]ιον Grenfell: Λύκ]ιον Lobel 8 ἵπ]ποι Stuart Jones 16 κῆρ]α Stuart Jones: δεσμ]ὰ Lobel 18 κουρᾶ]ν? Puech

## 61. ΗΡΑΚΛΗΣ Η ΚΕΡΒΕΡΟΣ ΘΗΒΑΙΟΙΣ

στρ. Πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ
διθυράμβων
καὶ τὸ σὰν κίβδηλον ἀνθρώ-
ποισιν ἀπὸ στομάτων,
διαπέπ[τ]α[νται δὲ νῦν ἱροῖς] πύλαι κύ-
κλοισι νέαι· [ ε]ἰδότες
οἵαν Βρομίου [τελε]τὰν
καὶ παρὰ σκᾶ[πτ]ον Διὸς Οὐρανίδαι
ἐν μεγάροις ἵ[στα]ντι. σεμνᾷ μὲν κατάρχει
ματέρι πὰρ μ[εγ]άλᾳ ῥόμβοι τυπάνων,
ἐν δὲ κέχλαδ[εν] κρόταλ' αἰθομένα τε
δᾷς ὑπὸ ξαν[θα]ῖσι πεύκαις·
ἐν δὲ Ναΐδων ἐρίγδουποι στοναχαὶ
μανίαι τ' ἀλαλ[αί] τ' ὀρίνεται [ῥι]ψαύχενι
σὺν κλόνῳ.
ἐν δ' ὁ παγκρα[τὴ]ς κεραυνὸς ἀμπνέων
πῦρ κεκίνη[ται τό τ'] Ἐνυαλίου
ἔγχος, ἀλκάεσσά [τ]ε Παλλάδο[ς] αἰγὶς
μυρίων φθογγάζεται κλαγγαῖς δρακόντων.

ἀντ. ῥίμφα δ' εἶσιν Ἄρτεμις οἰοπόλος ζεύ-
ξαισ' ἐν ὀργαῖς
βακχίαις φῦλον λεόντων
ἀ[γρότερον Βρομίῳ·]
ὁ δὲ κηλεῖται χορευοίσαισι κα[ὶ θη-]
ρῶν ἀγέλαις. ἐμὲ δ' ἐξαίρετο[ν]
κάρυκα σοφῶν ἐπέων
Μοῖσ' ἀνέστασ' Ἑλλάδι κα[λ]λι[χόρῳ]
εὐχόμενον βρισαρμάτοις ὄ[λβον τε Θήβαις,]
ἔνθα ποθ' Ἁρμονίαν [φ]άμα γα[μετὰν
Κάδμον ὑψη[λαῖ]ς πραπίδεσ[σι λαχεῖν κεδ-]
νάν· Δ[ιὸ]ς δ' ἄ[κουσεν ὀ]μφάν,
καὶ τέκ' εὔδοξο[ν παρ'] ἀνθρώπο[ις γενεάν.]
Διόνυσ . . θ' . . . . . . . . τ[.]γ
ματέ[ρος
πει[

(i) Pap. Oxy. 1604 (=Π[g]); (ii) 1, 6–8 Strab. x 469; (iii) 1–2 Aristox. ap. Athen. xi 467 B; (iv) 1–2 Dion. Hal. *de Comp. Verb.* 14; (v) 10–11 Plut. *Quaest. Conv.* 1, 5, 2; ib. 7, 5, 4; *Defect. Orac.* 14; Euseb. *Praep. Ev.* 5, 4; Theodoret. *Graec. aff. cur.* 10, 8    1 ἕρπε Schroeder: εἶρπε vel ἧρπε codd. Ath.: ἥριπε Dion. Hal.    σχοινοτένεια Dion. Hal.: σχοινοτενία Ath.: σχοινοτονίας Strab.    2 κίβδαλον Dion. Hal.    ἀνθρώποις Dion. Hal., Ath., corr. Hermann    3 διαπέπ[τ]α[νται δὲ νῦν ἱροῖς] Grenfell    [ἰαχεῖτ' ε]ἰδότες P. Maas: [κελαδεῖτ' ε]ἰδότες Puech    6 σεμνᾷ μὲν Π[g]: σοὶ μὲν Strab.    7 μᾶτερ παρὰ μεγάλοι Strab.    τυπάνων Bury: τυμπάνων Π[g]: κυμβάλων Strab.    8 κέχλαδ[εν] Schroeder: κέχλαδ[ον] Grenfell: κεχλάδειν Strab.    10 ὀρίνεται Π[g]: ὀρινομένων Plut. Quaest. 1    [ῥι]ψαύχενι Plut. *Def. Or.* et *Quaest.* 7: ὑψαύχενι Π[g]: ἐριαύχενι Plut. *Quaest.* 1    16 οἰόπολος Π[g] marg.: οἰοπόλοες Π[g] in textu    17 βαχκείαις Π[g]    ἀ[γρότερον Schroeder: ἀ[γροτέρων Bury    Βρομίῳ] Bury    18 κα[ὶ θη]ρῶν Housman    20 κα[λ]λι[χόρῳ] Bury    21 ὄ[λβον τε] Bury    Θήβαις Grenfell    22 [φ]άμα γα[μετὰν] Housman: [φ]άμα γα[ρύει] Bury    23 λαχεῖν κεδ]νάν Bury: ἄγειν σεμ]νάν Housman    24 παρ' et γενεάν Bury

## 62. (ΚΟΡΙΝΘΙΟΙΣ ?)

]ναλ[
]
]ιτο μὲν στάσις
]πόδα

]κατε[. . . .]ον κυανοχίτων
]τεαν τε[λετ]ὰν μελίζοι
] πλόκον σ[τεφάν]ων κισσίνων
] κρόταφον
]εων ἔλθε φίλαν δὴ πολέα
]ιον τε σκόπελον γείτονα πρύτανι . [
]αμα καὶ στρατιὰ
]τ' ἀκναμπτεὶ κρέμασον,
]ς τε χάρμας
]π[. . . .]ντος αὐχὴν ῥύοιτο πα[
]ων πέλοι
]λαν πόνοι χορῶν[
]εες τ' ἀοιδαί,
]οιο φῦλον ω[
]ε πετάλοις ἠρ[ινοῖς
] .
]
]μιον ἱππ[
]τι ταμίας [
]ν στολ . [
]λθε[
]ụ[

Pap. Oxy. 1604 (= Π^g) 3 παύσα]ιτο ? Schroeder 5 κατε[ναντί]ον Bury 7 ἀν[τὶ τοῦ] πλ[εκτῶν ?] schol. 9 ἔλθε φίλαν δὴ πολέα Grenfell : $\overset{\epsilon\lambda\epsilon}{\phi\theta o\nu}$ $\phi\iota\lambda\iota\delta\eta\pi o\lambda\overset{\alpha\nu}{\overset{\omega\varsigma}{\epsilon\omega}}$ Π^g 12 ἀκαμπτεὶ Schroeder 13 τὰς ἐπιδορατίδας schol. 17 πολυγαθ]έες ? Grenfell 22 στό]μιον ἵππ[ειον Bury : μιον [[ẹ]]ιπ̣ Π^g

## 63. (ΑΘΗΝΑΙΟΙΣ)

Δεῦτ' ἐν χορόν, Ὀλύμπιοι,
ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν,

ἰοδέτων λαχεῖν στεφάνων τᾶν τ' ἐαρι-
δρόπων ἀοιδᾶν·
Διόθεν τέ με σὺν Ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον
ἐπὶ τὸν κισσοδόταν θεόν,
Βρόμιον ὅν τ' Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμεϊᾶν ἔμολον.
ἐναργέα δὲ σάματα
μάντιν οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγοισιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται, τότ' ἐπ' ἀμβρόταν χθόν' ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μείγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς
οἰχνεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

Dion. Hal. *de Comp. Verb.* 22  1 δεῦτ' EF : ἴδετ' P  4 ἀθάναις F[1] : ἀθήναις rell.  6 λαχεῖν Usener : λάχει F : λάχετε cett.  τᾶν τ' ἐαριδρόπων Usener : ἄντε ἀριδρόπων F : τ' ἀντ' ἐαριδρέπων P : τάν τ' ἀριδρέπτων E  ἀοιδᾶν Usener : ἀοιδάν EFV : λοιβάν PM  9 κισσοδόταν P : κισσοδαῆ FEMV : κισσοδέταν Stephanus : κισσοάραν Schroeder  10 τὸν βρόμιον τὸν ἐριβόαν τε P  11 μὲν P : μέν τε FM : τε EV  μελπέμεν Boeckh : μέλπε P : μέλπομεν rell.  12 ἔμολον P : σεμέλαν EV : σεμέλην FM  13 ἐναργέα PE : ἐν ἄλγεα F : ἐν ἀργέα FV  σάματα Usener : τεμεῶι F : νεμέω PE : νεμέα V  14 τε μάντιν F  15 φοινικοεάνων Koch : φοινικεάων F : φοίνικος ἐανῶν rell.  οἰχθόντες . . . θάλαμοι F  16 ἐπάγοισιν F : ἐπαΐωσιν rell.  17 ἀμβρόταν χθόν' PM : ἄμβροτα(ο)ν χέρσον rell.

64. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,
δαιμόνιον πτολίεθρον.

(i) Schol. Aristoph. *Ach.* 674, *Nub.* 299; (ii) Aristoph. *Equ.* 1329; (iii) Schol. Aristid. iii 341; (iv) Plut. *de Glor. Ath.* 7

65. ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ' ἐλευθερίας

(i) Plut. *de Glor. Ath.* 7; (ii) id. *Vit. Them.* 8; (iii) id. *de Herod. Malig.* 34; (iv) id. *de Ser. Num. Vind.* 552B  2 κρηπῖδ' Bergk : κρηπίδ' codd.

66. κλῦθ' Ἀλαλά, Πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται
ἄνδρες ὑπὲρ πόλιος τὸν
ἱρόθυτον θάνατον.

(i) Plut. *de Glor. Ath.* 7; (ii) Athen. i 19 A; (iii) Schol. Laur. in Aesch. *Pers.* 49 3 ὑπὲρ πολίων ex Herodiano (ἐπὶ πολέως) Haupt, unde ὑπὲρ πόλιος Bergk

67. ὁ Πίνδαρος δ' ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν πρῶτον εὑρεθῆναι διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις.

Schol. Pind. *Ol.* xiii 25, cf. fr. 104

68. ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων

(i) *Etym. Magn.* 460, 35; (ii) Cramer *Anecd. Par.* iv 194, 7 2 Ὀαρίων Schroeder

69. ἡ Ὑρία . . . ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἥν φησι Πίνδαρος ἐν τοῖς διθυράμβοις.

Strab. ix 404

70. σὲ δ' ἐγὼ παρά νιν
αἰνέω μὲν, Γαρυόνα, τὸ δὲ μὴ Δὶ
φίλτερον σιγῷμι πάμπαν·

Aristid. ii 70 (Dindorf) 1 παρά νιν Bergk : παράμιν Aristid. : παρά μιν Hermann (παρ' αὐτὸν τὸν Ἡρακλέα Scholl. Aristid. ii 409) 3 σίγημι Schneider

71. τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον

Schol. Pind. *Pyth.* ii inscript. (ἐν διθυράμβοις)

72. ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

(i) Schol. V. Pind. *Ol.* vi 152; (ii) Strabo vii 321; (iii) Galen. *Protr.* 7

73. παλιναίρετος

Harpocratio p. 232 παλιναίρετος . . . ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος διθυράμβοις, cf. Bekker *Anecd. Graec.* i 59, 14; Phot. *Lex.* 373, 11–13

74. ἡ αἰτιατικὴ ἴκτινον . . . εἶτα . . . κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα . . . ὥσπερ ἀλίτροχον ἀλίτροχα παρ' Ἰβύκῳ καὶ διθύραμβον διθύραμβα παρὰ Πινδάρῳ.

Herodian. ii 626, 35 Lentz

75. Πίνδαρος δέ φησι (τὸν Διόνυσον) λυθίραμμον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα· λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν.

*Etym. Magn.* 274, 44

76. Διόνυσος] οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ὠνομάσθη.

Herodian. ii 492, 28 Lentz

77. οἱ δὲ [Δία καὶ] Ἥραν πατέ[ρα καὶ] μητέρα θε[ῶν νο]μίζουσιν, Πίν[δαρος] δ' [ἐκ] Κυβέ[λης μ]ητρὸς ἐν τῷ

. . . οιν . . . κυβε
. . . ματ . . . φερε
. . . κδο . . . ριος

Philod. *de Piet.* 19. 14

## 78–9. (ΕΙΣ ΔΗΛΟΝ)

*στρ.* Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου παί-
δεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκί-
νητον τέρας, ἅν τε βροτοὶ
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ
τηλέφαντον κυανέας χθονὸς ἄστρον.
Desunt versus 4–7

*ἀντ.* Deest versus 8
ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσ-
σιν παντοδαπῶν τ' ἀνέμων
ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδί-
νεσσι θυίοισ' ἀγχιτόκοις ἐπέβα νιν,
δὴ τότε τέσσαρες ὀρθαὶ
πρέμνων ἀπώρουσαν χθονίων,
ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

(i) ll. 1–3 Theophr. ap. Ps.-Philo περὶ ἀφθαρσίας κόσμου 23 (Diels *Doxogr.* p. 486); (ii) ll. 9–14 Strabo x 485 1 θεοδμήτα M, corr. Boeckh παῖδ' οἱ M, corr. Boeckh ἔρνος] ἕρκος Hartung 3 κικλήσκουσιν codd., corr. Bergk τηλέφαντον Bergk : τηλέφατον codd. 9 τ' supp. Tzschucke 10 ἀλλ' ἁ Κοιογενὴς Porson : αλλακαιογενης codd. ὠδίνεσι Strab., corr. Boeckh θυίοισ' Schulze : θύοις Strab. CD : θείαις B : θύοισ' Bergk ἐπέβα νιν Porson : ἐπιβαίνειν Strab. 12 πρέμνων Hermann : πρυμνῶν CD : πρεμνῶν B 13 ἐπικράνοις Porson : ἐπὶ κρανοῖς B : ἐκράνοις vel ἐπὶ κραναῇ cett. σχεδὸν B πέτρᾳ B

## 80. (ΑΙΓΙΝΗΤΑΙΣ ΕΙΣ ΑΦΑΙΑΝ)

Τί κάλλιον ἀρχομένοις
ἢ καταπαυομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ
καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;

Schol. Aristoph. *Equites* 1264 (ἀρχὴ προσοδίου), cf. Paus. ii 30, 3 ἐν Αἰγίνῃ δὲ πρὸς τὸ ὄρος τοῦ Πανελληνίου Διὸς ἰοῦσίν ἐστιν Ἀφαίας ἱερόν, ἐς ἣν καὶ Πίνδαρος ᾆσμα Αἰγινήταις ἐποίησε 1 ἀρχομένοις scholl. : ἀρχομένοισιν *Eq.* 1264

**81.** Πίνδαρος δὲ ἐν προσοδίοις πάντας τοὺς θεοὺς ἐποίησεν, ὁπότε ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἀλόγοις ζῴοις.

Porphyr. *de Abst.* iii 16  2 ἀλόγοις Wesseling: ἄλλοις codd.

**82.** Πίνδαρος δὲ δωρικώτερον διὰ τῆς ᾱῑ διφθόγγου ἐν προσοδίοις·

μεμναίατ' ἀοιδᾶς

(i) Cramer *Anecd. Par.* 292, 26; (ii) *Etym. Magn.* 579, 3 (om. ἀοιδᾶς)

83. . . .]οσ[. . . .]θείαις ερ-
. . . . . . .]δίᾳ
μάντις ὡς τελέσσω

στρ. ἱεραπόλος· τιμαὶ
δὲ βροτοῖσι κεκριμέναι·
παντὶ δ' ἐπὶ φθόνος ἀνδρὶ κεῖται
ἀρετᾶς, ὁ δὲ μηδὲν ἔχων ὑπὸ σι-
γᾷ μελαίνᾳ κάρα κέκρυπται.

ἀντ. φιλέων δ' ἂν εὐχοίμαν
Κρονίδαις ἐπ' Αἰολάδᾳ
καὶ γένει εὐτυχίαν τετάχθαι
ὁμαλὸν χρόνον· ἀθάναται δὲ βροτοῖς
ἁμέραι, σῶμα δ' ἐστὶ θνατόν.

ἐπ. ἀλλ' ᾧτινι μὴ λιπότεκνος σφαλῇ
πάμπαν οἶκος βιαίᾳ δαμεὶς ἀνάγκᾳ,
ζώει κάματον προφυγὼν ἀνια-
ρόν· τὸ γ[ὰ]ρ πρὶν γενέσθ[αι . . .

Pap. Oxy. iv 659 (= Πʰ)  6 Αἰολάδᾳ Grenfell et Hunt: αιολαδαπ̣ Πʰ  11 γενέσθ[' ἐς τὸ μὴ συνάπτει supp. Schroeder

84.

στρ. α' [. . . . . . . . . .] χρυσοπ[επλ . . . .
[. . .]δωμ[. . .]λέσῃς τ[. . . .]με . [
ἧκε]ι γὰρ ὁ [Λοξ]ίας [π]ρ[ό]φρω[ν] ἀθανάταν χάριν
Θήβαις ἐπιμείξων.

ἀντ. α' ἀλλὰ ζωσαμένα τε πέπλον ὠκέως
6 χερσίν τ' ἐν μαλακαῖσιν ὅρπακ' ἀγλαὸν
δάφνας ὀχέοισα πάνδοξον Αἰολάδα σταθμὸν
υἱοῦ τε Παγώνδα

Pap. Oxy. iv 659 (=Πʰ)  1–2 Χαῖρ' ὦ Πιερὶ] χρυσόπ[επλέ μοι κόρα, | αὐ]δῶμ[αι, τε]λέσαις τ' [ἐμὸν] μέ[λημ' εὖ· Schroeder  3 ἧκε]ι Schroeder  4 ἐπιμείξων Schroeder: επιμιξων Πʰ

ἐπ. α′ ὑμνήσω στεφάνοισι θάλλοισα παρθένιον κάρα,
σειρῆνα δὲ κόμπον
αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς

στρ. β′ κεῖνον ὃς Ζεφύρου τε σιγάζει πνοὰς
αἰψηράς, ὁπόταν τε χειμῶνος σθένει
φρίσσων Βορέας ἐπισπέρχῃ πόντον τ' ὠκύαλον
ῥ]ιπαῖσι ταράξῃ,

ἀντ. β′ καὶ [
Desunt versus 17–21

ἐπ. β′
22 [ ]φεν[ ]ασιμ[ ]ζωνα

στρ. γ′ πολ]λὰ μὲν τ[ὰ] πάροιθ[ε μέμναμαι καλὰ]
δ]αιδάλλοισ' ἔπεσιν, τὰ δ' ἄ[λλ' ὁ παγκρατὴς]
Ζεὺς οἶδ', ἐμὲ δὲ πρέπει παρθενήϊα μὲν φρονεῖν
γλώσσᾳ τε λέγεσθαι.

ἀντ. γ′ ἀνδρὸς δ' οὔτε γυναικός, ὧν θάλεσσιν ἐν
κεῖμαι, χρή μ[ε] λαθεῖν ἀοιδὰν πρόσφορον.
πιστὰ δ' Ἀγασικλ⟨έ⟩ει μάρτυς ἤλυθον ἐς χορὸν
ἐσλοῖς τε γονεῦσιν

ἐπ. γ′ ἀμφὶ προξενίαισι· τίμαθεν γὰρ τὰ πάλαι τὰ νῦν τ'
ἀμφικτιόνεσσιν
ἵππων τ' ὠκυπόδων πολ[υ]γνώτοις ἐπὶ νίκαις,

στρ. δ′ αἷς ἐν ἀϊόνεσσιν Ὀγχη[στοῦ κλυ]τᾶς,
ταῖς δὲ ναὸν Ἰτωνίας ἀ[μφ' εὐκλε]ᾶ
χαίταν στεφάνοις ἐκόσμηθεν ἔν τε Πίσᾳ περὶ
π[

11 αὐλίσκων Grenfell et Hunt: λαισκων Πⁿ: λακίσκων Sitzler 13–14 ἐπισπέρχῃ πόντον τ' ὠκύαλον ῥιπαῖσι ταράξῃ Puech: επισπερχης ωκυαλον τε ποντου ]ιπαν εταραξε $\Pi^h$ 23 supp. Wilamowitz 24 supp. Wilamowitz 27–8 ἐν κεῖμαι Schroeder: ενκειμαι $\Pi^h$ 28 Ἀγασικλέει Grenfell et Hunt: Ἀγασικλέϊ Schroeder ex -κλει $\Pi^h$ 31 τίμαθεν γὰρ Wilamowitz: τιμαθεντασ $\Pi^h$: τιμαθεῖσιν Grenfell et Hunt 34 supp. Grenfell et Hunt 35 ναὸν Grenfell et Hunt: ναοτ $\Pi^h$ ἀ[μφ' εὐκλε]ᾶ Grenfell et Hunt

ἀντ. δʹ Desunt versus 38–42

ἐπ. δʹ

ῥίζᾳ τε[.
σε]μνὸν αν[ Θήβαις] ἑπταπύλοισι[ν.

στρ. δʹ ἐνῆκεν καὶ ἔπειτ[α δυσμενὴς χό]λος
τῶνδ' ἀνδρῶν ἔνε[κε]ν μερίμνας σώφρονος
ἐχθρὰν ἔριν οὐ παλίγγλωσσος, ἀλλὰ δίκας [ὁ]δοὺς
π[ιστ]ὰς ἐφίλη[σα]ν.

ἀντ. δʹ Δαμαίνας πα[ῖ, ἐναισίμ]ῳ νῦν μοι ποδὶ
στείχων ἄγεο· [τ]ὶν γὰρ ε[ὔ]φρων ἕψεται
πρώτα θυγάτηρ [ὁ]δοῦ δάφνας εὐπετάλου σχεδ[ὸ]ν
βαίνοισα πεδίλοις,

ἐπ. δʹ Ἀνδαισιστρότα ἃν ἐπάσκησε μήδεσ[ι ποικί]λο[ις·
ἁ δ' ἐρ[γασία]ισι[ν
μυρίων ἐ[χάρη καλα]ῖς ζεύξα[ισά νιν οἴμων]

στρ. ϛʹ μὴ νῦν νέκτα[ρ ἔχοντ' ἀπὸ κρά]νας ἐμᾶς
διψῶντ' ἀ[λλότριον ῥόον] παρ' ἁλμυρὸν
οἴχεσθον· ἐ[ . . . . . .

44 Θήβαις supp. Grenfell et Hunt 45 ἔθηκεν Wilamowitz δυσμενὴς χό]λος Grenfell et Hunt 47 παλίγγλωσσος Wilamowitz : παλίγγλωσσον Π^h [ὁ]δοὺς Puech : [δ]ιδοὺς Grenfell et Hunt 48 πιστὰς tent. Grenfell et Hunt : πικρὰς Wilamowitz : πάσας Diehl ἐφίλη[σα]ν Puech : ἐφίλη[σε]ν Grenfell et Hunt 49 ἐναισίμ]ῳ Grenfell et Hunt 53 Ἀνδαισιστρότα Wilamowitz : ἂν Δαισιστρότα Grenfell et Hunt ποικί]λο[ις Schroeder 54, 55, 57 supp. Schroeder

**85.** ὦ Πάν, Ἀρκαδίας μεδέων
καὶ σεμνᾶν ἀδύτων φύλαξ, . . . .
Ματρὸς μεγαλᾶς ὀπαδέ, σεμ-
νᾶν Χαρίτων μέλημα τερπνὸν

(i) Schol. Pind. *Pyth.* iii 139 (ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων); (ii) 1–2 *Vita Pindari Ambrosiana* (ed. Drachmann, p. 2) 2 σεμνῶν codd., corr. Boeckh 3 μέλημα BCE : ἄγαλμα DGQ

86. ὦ μάκαρ, ὅν τε μεγάλας
θεοῦ κύνα παντοδαπὸν
καλέοισιν Ὀλύμπιοι

Aristot. *Rhet.* ii 24 (ἢ τὸν Πᾶνα (sc. ἐγκωμιάζων), ὅτι Πίνδαρος ἔφησεν) 3 καλέουσιν codd., corr. Boeckh

87. αὐτὸς αὐτῷ μέλος γλάζεις

Schol. Theocr. i 2 (ὡς καὶ Πίνδαρος τὸν Πᾶνα φάσκων) αὐτὸς αὐτῷ Schroeder : τὸ σαυτοῦ codd.

88. τὸν Πᾶνα τὸν ἄκτιον· . . . ὥς φησι Φιλοστέφανος, ἔστι Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ· τινὲς δὲ τὸν Ἀπολλωνά φασι τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον. φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν.

Schol. Theocr. v 14

89. διδόασι δ' αὐτῷ (Διονύσῳ) καὶ τὸν Πᾶνα χορευτὴν τελεώτατον θεῶν ὄντα, ὡς Πίνδαρός τε ὑμνεῖ καὶ οἱ κατ' Αἴγυπτον ἱερεῖς κατέμαθον.

Aristid. ii 331 (Keil)

90. a. Pindarus Pana ⟨Apollinis⟩ et Penelopae filium dicit.

Servius in Verg. *Georg.* i 17

b. Pana Pindarus ex Apolline et Penelopa in Lycaeo monte editum scribit.

ibid. *Comm. Leid.*

c. Pindarus et Hecataeus dicunt Apollinis et Penelopae filium.

Schol. Lucan. iii 402

d. τὸν δὲ Πᾶνα ἔνιοι γηγενῆ ἱστοροῦσιν, ἔνιοι δὲ Αἰθέρος καὶ νύμφης Οἰνόης, ⟨ἔνιοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης,⟩ ὡς καὶ Πίνδαρος, ἔνιοι δὲ Ὀδυσσέως.

Schol. Theocr. *Syring.* 1 2 ἔνιοι . . . Πηνελόπης supp. Schroeder

91. ἀγοράζειν ἐν ἀγορᾷ διατρίβειν . . . Ἀττικῶς· ὅθεν καὶ ἡ Κόριννα ἐπιτιμᾷ Πινδάρῳ ἀττικίζοντι, ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν παρθεν⟨ί⟩ων ἐχρήσατο τῇ λέξει.

Schol. Aristoph. *Ach.* 720

**92.** Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν παρθεν⟨ί⟩ων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται παρεῖναι Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.

Schol. Theocr. ii 10 2 παρεῖναι Bergk : εἶναι καὶ codd.

**93.** προβάτων γὰρ ἐκ πάντων κελάρυξεν,
ὡς ἀπὸ κρανᾶν φέρτατον ὕδωρ,
θήλεον γάλα· τοὶ δ' ἐπίμπλαν ἐσσύμενοι πίθους·
ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς ἐλίνυεν δόμοις,
πέλλαι δὲ ξύλιναι πίθοι ⟨τε⟩ πλῆσθεν ἅπαντες.

Plut. *Pyth. Orac.* 29, p. 409 (οἱ μὲν οὖν περὶ τὸ Γαλάξιον τῆς Βοιωτίας κατοικοῦντες ᾔσθοντο τοῦ θεοῦ τὴν ἐπιφάνειαν ἀφθονίᾳ καὶ περιουσίᾳ γάλακτος·) Partheneum Pindari agnovit Schneidewin 1 προβάτων Leonicus : προπάντων codd. 2 κρανᾶν Bergk : κρηνάων codd. 3 ἐπίμπλαν Schroeder : ἐπίμπλων codd. πίθους] σκύφους ? Schroeder 5 ξύλινοι codd., corr. Wilamowitz τε supp. Wilamowitz

94. ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩΙ

Σύνες ὅ τοι λέγω,
ζαθέων ἱερῶν ὁμώνυμε
πάτερ, κτίστορ Αἴτνας·
νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται στρατῶν
ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·
ἀκλεὴς δ' ἔβα . . .

(i) Schol. Pind. *Pyth.* ii 127 (ὑπόρχημα, οὗ ἡ ἀρχή· Σύνες κτλ.); (ii) Schol. Pind. *Nem.* vii 1; (iii) Aristoph. *Aves* 927 et 942 cum scholl.; (iv) Strab. vi 268   1 ξύνες Aristoph., Strab., Plat. *Meno* 76 D   ὅ τοι Aristoph., schol. Pind. *Pyth.* ii: ὅ σοι Plat. *Phaedr.* 236 D: ὅτι vulgo   2 ἐπώνυμε schol. Pind. *Pyth.* ii, schol. Aristoph. *Aves*   6 δ' ex Aristoph. Boeckh

95. ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν
ἐπὶ θηρσὶ κύνα τρέχειν
πυκινώτατον ἑρπετόν·
Σκύριαι δ' ἐς ἄμελξιν γλάγεος
αἶγες ἐξοχώταται·
ὅπλα δ' ἀπ' Ἄργεος, ἅρμα Θη-
βαῖον, ἀλλ' ἀπ' ἀγλαοκάρπου
Σικελίας ὄχημα
δαιδάλεον ματεύειν.

(i) Athen. i 28 A; (ii) 1–2 Eustath. *Od.* 1822, 5; (iii) 3–4 ib. 1569, 44   2 τρέφειν Eustath.   3 γλάγεος Schneidewin: γάλακτος Athen.: γλάγους Eustath.   5 ἀλλ' ἀπ' Schroeder: ἀπὸ τῆς Athen.: schol. Ar. *Pax* 73 ἀλλ' ἀπὸ τῆς

96. Πελασγὸν ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ
ἐλελιζόμενος ποδὶ μίμεο καμ-
πύλον μέλος διώκων,
οἷ' ἀνὰ Δώτιον ἀνθεμόεν πεδί-
ον πέτεται θάνατον κεροέσσᾳ
εὑρέμεν ματεῖσ' ἐλάφῳ·

τὰν δ' ἐπ' αὐχένι στρέφοι-
σαν κάρα πάντ' ἐπ' οἶμον . . .

Plut. *Quaest. Symp.* ix 15, p. 748 Pindaro ascripsit Schneider 1 Πελασγὸν Meineke : ἀπελαστὸν Plut. 4 οἶ T. Reinach : οἶος Plut. κεροέσσα Wyttenbach : κεράσασα Plut. 5 ματεῖσ' Schroeder : μανύων Plut. 6 στρέφοισαν ἕτερον Plut., corr. Schroeder πάντ' ἐπ' οἶμον Schneidewin : πάντα ἕτοιμον Plut.

**97.** ἐλαφρὸν ὄρχημ' ἀοιδᾷ ποδῶν μείγνυμεν·
Κρῆτα μὲν καλέοντι τρόπον, τὸ δ' ὄργανον Μολοσσόν.

(i) Plut. *Quaest. Symp.* ix 15, 748 ; (ii) Athen. iv 181[b] Pindaro ascripsit Schneider 1 ἀοιδᾷ Bergk : οἶδα codd. 2 καλέοντι Schroeder : καλέουσι Plut. Κρῆταν Athen.

**98.** a. θεοῦ δὲ δείξαντος ἀρχὰν
ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ
κέλευθος ἀρετὰν ἑλεῖν,
τελευταί τε καλλίονες.

*Epist. Socr.* i, p. 610, Hercher (σχεδὸν γὰρ οὕτω που αὐτῷ ἔχει τὸ ὑπόρχημα) 2 ἐν Hermann : ἓν codd.

b. θεῷ δὲ δυνατὸν μελαίνας
ἐκ νυκτὸς ἀμίαντον ὄρσαι φάος,
κελαινεφέϊ δὲ σκότει
καλύψαι σέλας καθαρὸν
ἁμέρας.

Clem. Alex. *Str.* v 708. Cum fragmento praecedente coniunxit Blass 1–2 μελαίνας ἐκ Clem., transp. Blass 4–5 καθαρὸν ἁμέρας σέλας Clem., transp. Blass

**99.** a. γλυκὺ δὲ πόλεμος ἀπειρά-
τοισιν, ἐμπείρων δέ τις
ταρβεῖ προσιόντα νιν
καρδίᾳ περισσῶς.

auch Schol. Theoc. 2,8,1 in Ox. P. VI (1908) 853, Hude p. 115,16

(i) Stob. *Flor.* 50, 3 ; (ii) Schol. *Il.* Λ 227 ; (iii) Diogenianus iii 94 1 ἀπειράτοισι Schroeder : ἀπείροισι Stob.

b. τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ
τιθεὶς ἐρευνασάτω
μεγαλάνορος Ἡσυχίας τὸ φαιδρὸν φάος,
στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών,
πενίας δότειραν, ἐχθρὰν ⟨δὲ⟩ κουροτρόφον

(i) Stob. iv 16, 6; (ii) Polyb. iv 31  2 ἐρευνησάτω Stob., corr. Schroeder  3 τὸ φαιδρὸν Polyb.: ἱερὸν Stob.  5 δὲ supp. Schneidewin

**100.** ἐνέπισε κεκραμέν' ἐν αἵματι
πολλὰ δ' ἔμβαλ' ἕλκεα νω-
μῶν τραχὺ ῥόπαλον, τέλος δ' ἀείραις
. . . πρὸς στιβαρὰς σπάραξε πλευράς,
αἰὼν δὲ δι' ὀστέων ἐραίσθη.

Erotianus *Gloss. Hippocr.* (p. 49 Klein Πίνδαρος ἐν ὑποχρήμασι)  1 ἐνέπτυσε Vulcanius  2 ἕλκεα πλευρὰς ἔμβαλεν ὦμον codd.: πλευρὰς del. Heringa: ἔμβαλ' ἕλκεα Boeckh, νωμῶν Vulc.  3 πρὸς valde suspectum: ἀνδρὸς Christ: ὑψοῦ Schroeder: πρὸς ἀκρὰν Bergk  σπάραξε Heringa: ἀπάραξε codd. vett.: ἐσπάραξε dett.  4 ἐραίσθη Christ: ἐρραίσθη codd.

**101.** Λάκαινα μὲν παρθένων ἀγέλα

Athen. xiv 631 c (ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες, καὶ ἔστιν ὑπορχηματικὴ ὄρχησις ἀνδρῶν καὶ γυναικῶν)

**102.** Ὁμόλη δὲ Θετταλίας ὄρος ὡς Ἔφορος καὶ Ἀριστόδημος ὁ Θηβαῖος, ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωίων καὶ Πίνδαρος ἐν τοῖς ὑπορχήμασιν.

Schol. Theocr. vii 103  1 Ὁμόλη codd. Ambr., Bergk: Ὁμόλας alii: Ὅμολος vulgo  2 Ὁμολωίων Meursius, ὁμόλων Ambr., ὁμηρῶν alii

**103.** Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος· ἀλλ' †εὑρήματα Πινδάρου ἐν Ὑπορχήμασιν, ὡς† εὕρημα Κάστορος, ὡς αὐτὸς λέγει.

Schol. Pind. *Isthm.* i 21.  Locus paene conclamatus  1 ἅρμα δὲ εὕρηκεν κατὰ Πίνδαρον Schroeder  2 ὡς καὶ ζεῦγος εὕρημα Κάστορος Schroeder

**104.** ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον.

Schol. Pind. *Ol.* xiii 25.  Cf. fr. 67

## 105. ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ

*Βούλομαι παίδεσσιν* Ἑλλάνων . . .
*ἐν δὲ* Ῥόδον *καταοίκισθεν* . . .
*ἔνθεν δ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,*
*πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' αἰενάου πλούτου νέφος.*

(i) Schol. Pind. *Ol.* ii 16; (ii) Schol. Pind. *Ol.* ii 39 2 *ἐν* GQ$^{s}$ : *ἀν* vulgo *καταοίκισθεν* Schroeder : *κατῴκισθεν* codd. 3 *ἔνθεν δ'* GHQ : *ἐν δ'* B : *ὅθεν δ'* V : *ἔνθ'* E 5 *ἕσπετο* GQ : *ἕπετο* vulgo *ἀενναόυ* codd., corr. Schroeder

## ΑΛΕΞΑΝΔΡΩΙ ΑΜΥΝΤΑ

**106.** a. *ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,*
*παῖ θρασύμηδες* Ἀμύντα

(i) Schol. Pind. *Nem.* vii 1 ; (ii) Dion. Chrysost. *Or.* ii 33 1 *ἐπώνυμε* Dio

b. . . . *πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι*
. . . *καλλίσταις ἀοιδαῖς.*
*τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον,*
*θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον* ⟨*ἅπαν*⟩

Dion. Halic. *Demosth.* 26 (i 185 Usener-Radermacher) 1 *δ' ἐσλοῖσιν* Sylburg : *δὲ ὅλοισιν* codd. 3 *τιμαῖσι* codd., corr. Boeckh *μόνον ῥηθέν* codd., corr. Bothe 4 *δὲ σιγαθὲν* Barnes : *δ' ἐπιταθὲν* codd. : *δ' ἐπιλασθὲν* Sylburg *ἅπαν* supp. Schroeder

## 107. ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩΙ

*στρ. α'* Πολύξεναι *νεάνιδες, ἀμφίπολοι*
Πειθοῦς *ἐν ἀφνειῷ* Κορίνθῳ,
*αἵ τε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη*
*θυμιᾶτε, πολλάκι ματέρ' ἐρώτων*
*οὐρανίαν πτάμεναι*
*νόημα ποττὰν* Ἀφροδίταν,

*στρ. β'* *ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν,*
*ὦ παῖδες, ἐρατειναῖς* ⟨*ἐν*⟩ *εὐναῖς*

μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι.
σὺν δ' ἀνάγκᾳ πᾶν καλὸν . . .

Desunt versus 10–12

στρ. γ'

ἀλλὰ θαυμάζω, τί με λέξοντι Ἰσθμοῦ
δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν
εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξίν.

στρ. δ' διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ
Deest versus 17
ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος
φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυι-
ον Ξενοφῶν τελέαις
ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.

Athen. xiii 573 E  1 πολύξειναι A, corr. Boeckh  2 ἀφνειᾷ Schneider  3 διαιτε τασχειρας λιβάνου A, corr. Tittmann  ξανθὰ δάκρη e Cramer *An. Ox.* i 121, 1 Schneidewin  4 θυμιᾶτε Tittmann e Zonara, p. 1307 : τε ἥμῖν A  πολλακὶς ματέρας A, corr. Boeckh  5 νόημα Hermann: νοήματι codd.  6 ὔμμιν Hermann  ἄνευθ' ἐπαγορίας Meineke : ἄνωθεν ἀπαγορίας Ath.  7 ἐν supp. Boeckh  8 μαλθακώρας A, corr. Boeckh  9 πᾶν καλόν Hermann : πάγκαλον A  13 λέξοντι Casaubon : λεξοῦντι A  Ἰσθμοῦ Casaubon : δμοῦ codd.  14 τοιόνδε A, corr. Schweighäuser  16 ἐδιδάξαμεν codd., corr. Hermann : ἐδείξαμεν Hecker  καθαρᾷ Casaubon : κιθάραι A  18 κόραν . . . ἑκατόνγυιον A, corr. Casaubon  ξενοφόων A, corr. Musurus

## 108. ΘΕΟΞΕΝΩΙ ΤΕΝΕΔΙΩΙ

στρ. χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι,
θυμέ, σὺν ἁλικίᾳ·
τὰς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων
μαρμαρυζοίσας δρακεὶς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος ἢ σιδά-
ρου κεχάλκευται μέλαιναν καρδίαν

ἀντ. ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδίτας ἀτιμα-
σθεὶς ἑλικογλεφάρου

ἢ περὶ χρήμασι μοχθίζει βιαίως
ἢ γυναικείῳ θράσει
ψυχὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων. ἀλλ' ἐγὼ
τᾶσδ' ἕκατι κηρὸς ὣς δαχθεὶς ἕλᾳ

ἐπ. ἱρᾶν μελισσᾶν τάκομαι, εὖτ' ἂν ἴδω
παίδων νεόγυιον ἐς ἥβαν· ἐν δ' ἄρα καὶ Τενέδῳ
Πειθώ τ' ἔναιεν καὶ Χάρις
υἱὸν . . . Ἀγησίλα.

(i) Athen. xiii 601 D; (ii) 2–4 Ath. xiii 564 E    1 μὲν Hermann: με A ἡλικίᾳ Ath., corr. Boeckh    2 ἀκτῖνας πρὸς ὄσσων Kaibel: ἀκτῖνας ὄσσων Ath. (ii): ἀκτῖνας προσώπου Ath. (i)    μαρμαριζοίσας Ath. (i)    4 ἑλικοβλεφάρου codd., corr. Schroeder    6 ψυχὰν Schneider: ψυχρὰν codd.: βληχρὶν Schroeder    φορεῖται Musurus: φορεῖτε codd.    τᾶσδ' ἕκατι Hermann: δεκατίτας codd.    6–7 ἕλᾳ ἱρᾶν Bergk: ἐλεηρὰν codd.    8 παιδός Schroeder    10 υἱὸν ⟨ἀνᾶγ'⟩ Hermann, fortasse υἱὸν ⟨ἔτικτ'⟩ Ἀγησίλᾳ

## 109. ΘΡΑΣΥΒΟΥΛΩΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ

στρ. α' Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτό ⟨τοι⟩ πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν καὶ Διωνύσοιο καρπῷ

στρ. β' καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον·
ἁνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου

στρ. γ' πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες
. . . . . . . . . . . .

στρ. δ' . . . . . . . . . . . .
. ἀέξονται φρένας ἀμπελίνοις τόξοις δάμεντες.

(i) 1–4 Athen. xi 480 C; (ii) 5–8, 11 Athen. xi 782 D: coniunxit Blass    2 τοι supp. Boeckh    3 διονύσοιο codd., corr. Boeckh    4 ἀθηναιεσι A, corr. Schneider    6 ἔξω Mitscherlich: ἔξωθεν codd.    πολυχρύσου codd., corr. Mitscherlich    7 ἴσᾳ Hermann: ἴσα codd.: ἴσον Schroeder    8 ἀφνειὸς codd., corr. Hermann    11 εὖτ' ἀέξονται Bergk

## 110. ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ

a. *τόν ῥα Τέρπανδρός ποθ᾽ ὁ Λέσβιος εὗρεν*
*πρῶτος, ἐν δείπνοισι Λυδῶν*
*ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος*

Athen. xiv 635 D (de barbito) 2 λύδιον A, corr. Schneider 3 πηκτίδος codd., corr. Herwerden

b. *μηδ᾽ ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τοι*
*φέριστον ἀνδρὶ τερπνὸς αἰών.*

Heracl. Pont. ap. Athen. xii 512 D

---

111. *δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον*
*καίπερ πεδ᾽ ἄφθονον βοράν.*

(i) Athen. xiv 641 B; (ii) Clem. Alex. *Strom.* 1, 377; (iii) Eustath. ad *Odyss.* 1401, 49; (iv) Plut. *de Sanit.* 20, p. 133; (v) Philodemus *de Mus.* xii 3
2 καίπερ Boeckh: καὶ περί A πεδ᾽ ἄφθονον Schneider: παιδαφθονον A

112. *εἴη καὶ ἐρᾶν καὶ ἔρωτι*
*χαρίζεσθαι κατὰ καιρόν·*
*μὴ πρεσβυτέραν ἀριθμοῦ*
*δίωκε, θυμέ, πρᾶξιν.*

Athen. xiii 601 C

113. *χάριτάς τ᾽ Ἀφροδισίων ἐρώτων,*
*ὄφρα σὺν Χειμάρῳ ⟨τε⟩ μεθύω*
*Ἀγάθωνί τε βάλλω κότταβον.*

Athen. x 427 D 2 σὺν Χειμάρῳ τε Schroeder: σύγχει μάρῳ Ath. 3 τε βάλλω Christ: δὲ βάλω Ath.: τ᾽ ἰάλω Schroeder

114. a. τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν
ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός.
b. καὶ τοὶ μὲν ἵπποισί ⟨τε⟩ γυμνασίαις ⟨τε⟩, τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐαν-
θὴς ἅπας τέθαλεν ὄλβος·
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μειγνύντων πυρὶ τηλεφανεῖ παν-
τοῖα θεῶν ἐπὶ βωμοῖς.
c. ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί.

(i) 1–7 Plut. *Consol. ad Apoll.* 35, p. 120; (ii) 1–3, 8–9 Plut. *de lat. viv.* 7, p. 1130  1 μένος] σθένος Schroeder  2 ἐνὶ Boeckh: ἐν Plut. *de lat. viv.*: φοινικορόδιαί τε λειμῶνες εἰσὶ Plut. *Cons.*  προάστιον . . . 3 βεβριθός] καὶ τοῖσιν ἀκάρπων μὲν ἀνθηρῶν καὶ σκυθίων δένδρων ἄνθεσι τεθηλὸς ἀναπέπταται πεδίον Plut. *de lat. viv.*  προάστιον Hermann: προάστειον Plut.  3 σκιαρᾷ Hermann, Boeckh  χρυσέοις καρποῖς Boeckh: χρυσοκάρποισι Plut.  βεβριθός Reiske: βέβριθε Plut.  4 ἵπποισί τε γυμνασίαις τε Schroeder: ἵπποις γυμνασίοις Plut.  5 τέθηλε Plut., corr. Hermann  6 ἐρατῶν Plut., corr. Xylander  7 αἰεὶ θύα Boeckh, Hermann: ἀεὶ θύματα Plut.

115. ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον τελετὰν

Plut. *Consol. ad Apoll.* 35, p. 120  δ' ἅπαντες] δραπόντες Schroeder  τελετὰν Dübner: τελευτὰν Plut.: μετανίσσονται τελευτὰν Boeckh

116. καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,
ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον
ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόν-
τεσσιν ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν

(i) 1–4 Plut. *Consol. ad Apoll.* 35, p. 120; (ii) 1–2 Plut. *Vit. Rom.* 28  2 ζωὸν δ' ἔτι Plut. *Vit.*: ζῶν δὲ Plut. *Cons.*  ἐστι μόνον Plut. *Vit.*: μόνον ἐστί Plut. *Cons.*  4 ἐφέρπουσαν Plut., corr. Boeckh

**117.** εὐδαιμόνων
δραπέτας οὐκ ἔστιν ὄλβος

Stob. *Flor.* 103, 6

**118.** πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας
τετράτῳ δ' αὐτὸς πεδάθη·

(i) Schol. Pind. *Ol.* i 127 (de Oenomao); (ii) Porphyr. ap. schol. B ad K 252 1 τρεῖς καὶ δέκ' AB : δεκατρεῖς CD : τρισκαίδεκα EQ 2 τετράτῳ Porphyr. : τετάρτῳ ABCQ : τέταρτον E πεδάθη B : πελάθη A : πελάσθη CO : πεδώθη E

**119.** ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου

Aristid. ii 215 (Keil) κύματ' ⟨ἀγκαλεῖ σε ?⟩ πόντου Schroeder

**120.** flebili sponsae iuvenemve raptum
plorat et viris animumque moresque
aureos educit in astra nigroque
invidet Orco.

Hor. *Carm.* iv 2, 21–4

**121.** ὄλβιος ὅστις ἰδὼν κεῖν' εἶσ' ὑπὸ χθόν'·
οἶδε μὲν βίου τελευτάν,
οἶδεν δὲ διόσδοτον ἀρχάν.

Clem. Alex. *Str.* iii 518 (Πίνδαρος περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων λέγων ἐπιφέρει) 1 ἐκεῖνα κοινὰ εἰς codd., corr. W. Teuffel

**122.** ἔοικε δὲ τὸ περὶ τὴν τοῦ Ἱπποκράτους τελευτὴν περὶ τοῦτον τὸν καιρὸν (Megaclis victoriae a. C. 486) ἀπηντηκέναι, εἰς ὃν καὶ θρῆνον γράφει ὁ Πίνδαρος.

Schol. Pind. *Pyth.* vii 17. Ad frag. 121 refert Boeckh

**123.** ἤτοι οὐκ ἄρχον, ἀλλ' ὑποτασσόμενον· Πίνδαρος Θρήνοις.

*Antiatt.* Bekker *Anecd. Graec.* i 99, 2

**124.** τοι προϊδ[ώ]ν αἶσαν α[
ζοι τότ' ἀμφι . ουτατ . [
Ἡρακλέης. ἀλίαι [. . .] . . [
ναὶ μολόντας [.]υ[. .]ησ[.] . [.] . σοεν
θονοι φύγον ου[
πάντων γὰρ ὑπ[έ]ρβιος αν . . σεφα[
ψυχὰν κενεω[ν] εμε[.] . . ρυκ . α . . [
λαῶν ξενοδα[ΐ]κτα βασιλῆ[. . .]
ὃς ἀτασθαλίᾳ κοτέω[ν] θαμά
ἀρχαγέτᾳ τε [Δ]άλου
πίθετο παυσεν[. .] . ρμ[. .]ιαδες . . . σ[.]
γάρ σε λιγυσφαράγων . υτ . ναυ-
τα, Ἑκαβόλε, φορμίγγων.
μνάσθηθ' ὅτι τοι ζαθέας Πάρου ἐν
γυάλοις ἕσσατο ἄ[ν]ακτι
βωμὸν πατρί τε Κρονίῳ
τιμάεντι πέραν ἰσθμὸν διαβαίς,
ὅτε Λαομέδοντι πεπρωμένοι'
ἤρχετο μόροιο κᾶρυξ.

ἐπ. ἦ[ν] γὰρ τὸ παλαίφατον . . . . . ον
ἶκε συγγόνους
τρεῖς π[. .] . εω . ν κεφαλὰν . . ρ . . ται[
ἐπιδ[. . . . . . . . . .]αιμα . . . . . . . .

Pap. Oxy. iii 408[a] (= Π[1]). Frustula columnae prioris atque initia versuum 46–54 omisi 24 τοι] τοῦ Fraccaroli 28 ἄν[τα] σε φα[νεὶς ? Diehl 39 τιμιεαντι Π[1], corr. Grenfell et Hunt 43 ἶκε Schroeder : εἴκε Π[1]

**125.** Ἰων . . . . . .
ἀοιδ[άν ⟨τε⟩ κ]αὶ ἁρμονίαν
αὐ[λοῖς ἐ]πεφράσατο
τῶ[ν . . Λο]κρῶν τις, [οἵ τ' ἀργίλοφον
π[ὰρ Ζεφυρί]ου κολώ[ναν

ν[αίονθ' ὑπὲ]ρ Αὐσονία[ς ἄκρας
λι[παρὰ πόλ]ις. ἀνθ[ώϋξε δέ,
οἷον [ὄ]χημα λιγ . . . [
]κες, ὁ[λ]ὸν παιήονα
Ἀπόλλωνί τε καὶ . . . [
ἅρμενον ἐγὼ μ[ὰν κλύων]
παῦρα μελ[ι]ζομέν[ου τέχναν
γλώ]σσαργον ἀμφέπω[ν,
ἐρεθίζ]ομαι πρὸς ἀοιδὰ[ν
ἁλίο]υ δελφῖνος ὑπ[όκρισιν,
τὸν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.

(i) Pap. Oxy. iii 408$^{b}$ (= Π$^{i}$); (ii) 58-9 Schol. *Ol.* x 17; (iii) 68–71 Plut. *de Soll. Anim.* 36 55 Ἰων[ίδος ἀντίπαλον Μοίσας supp. e.g. Schroeder 60 ναιόντ' Schroeder: νάουσ' Grenfell et Hunt 61 ἀνθ[ώϋξε δέ Schroeder: ἄνθ[ηκε δὲ Grenfell et Hunt 62 [ὄ]χημα Grenfell et Hunt 62–3 λιγ[υα]χὲς Diehl 63 ὁ[λ]ὸν Diehl: ο[ἶ]ον Grenfell et Hunt 64 καὶ Χάρ]ισιν Schroeder

**126.** ἔντι μὲν χρυσαλακάτου τεκέων ⟨Λατοῦς⟩ ἀοιδαὶ
ὥριαι παιανίδες· ἐντὶ ⟨δὲ καὶ⟩ θάλ-
λοντος ἐκ κισσοῦ στεφάνων Διονύσου
⟨διθύραμβον μ⟩αιόμεναι· τὸ δὲ κοιμίσσαν⟨το⟩ τρεῖς
. . . . . . . . . σώματ' ἀποφθιμένων.
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει,
ἁ δ' Ὑμέναιον, ⟨ὃν⟩ ἐν γάμοισι χροϊζόμενον
⟨Μοῖρα⟩ σύμπρωτον λάβεν,
ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόρῳ νού-
σῳ ὅτι πεδαθέντα σθένος,
υἱὸν Οἰάγρου . . .

Schol. Vat. Eur. *Rhes.* 892 2 δὲ καὶ supp. Wilamowitz θάλλοντες A στέφανον A 3 κοιμίσσαντρ̂ codd., corr. Schroeder διθύραμβον μαιόμεναι Wilamowitz 5 ὑμνεῖν codd., corr. Hermann 6 ὃν ἐν γάμοισι Hermann: ἐργάμοισι A 7 νύμφᾳ Μοῖρα supp. Bergk σύμπρωτον Hermann: συμπρωτὰ A 8 ἔσχατον ὕμνον A, corr. Hermann, Schneidewin ὠμοβόρῳ Schneidewin: δμοβόλῳ A ὅτι del. Hermann πεδαθέντα Schneidewin: παῖδα θεντοι A 9 οἴαγρον A, corr. Schneidewin

127. οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ
ἀνδιδοῖ ψυχὰς πάλιν, ἐκ τᾶν βασιλῆες ἀγαυοὶ
καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥροες ἁ-
γνοὶ πρὸς ἀνθρώπων καλεῦνται.

(i) Plat. *Meno*, p. 81 B; (ii) Stob. *Flor.* 43, 112  1 οἷσι γὰρ ἂν codd. Plat., corr. Boeckh  2 εἰς codd. Plat., corr. Boeckh  ἔτει edd. ante Boeckhium  3 ψυχὰν codd. Plat.: ψυχὰ codd. Stob., corr. Boeckh

128. ἐπερχόμενόν τε μαλάσσοντες βιατὰν
πόντου ὠκείας τ' ἀνέμων . . . ῥιπάς

(i) Plut. *de Def. Or.* 30, p. 426 C; (ii) Plut. *adv. Epic.* 23, p. 1103 C  1 βιατὰν Bergk: βία codd.

129. τί θεός; ὅτι τὸ πάν.

Clem. Alex. *Str.* v 726  ὅτι secl. Schroeder

130. θεὸς ὁ πάντα τεύχων βροτοῖς
καὶ χάριν ἀοιδᾷ φυτεύει.

(i) Clem. Alex. *Str.* v 726; (ii) Didym. Caec. *de Trin.* 1, p. 320

131. κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι
πόνων τ' ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες 'Αχέροντος.

(i) Plut. *de Superst.* 6, p. 167; (ii) id. *adv. Stoic.* 31, p. 1075; (iii) id. *Amator.* 18, p. 763

132. 'Ελασίβροντα παῖ 'Ρέας

(i) Schol. Aristoph. *Eq.* 624; (ii) Suid. s.v. ἐλασίβροντα ἀναρρηγνὺς ἔπη

133. πῦρ πνέοντος ἅ τε κεραυνοῦ
ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς
ἥμενα . . .

(i) Schol. T. *Il.* Ω 100 (de Athena); (ii) Plut. *Quaest. Conv.* i 2, 4, p. 617; (iii) Aristides ii 305, 21  3 ἥμενα e Plut. (ἡμένη) Schroeder

134. ἐν χρόνῳ δ' ἔγεντ' 'Απόλλων

Clem. Alex. *Str.* i 383  δὲ γένετ' codd., corr. Boeckh

135. ὀρχήστ' ἀγλαΐας ἀνάσσων
εὐρυφάρετρ' Ἄπολλον

Athen. i 29B

136. κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν

(i) Plut. *de EI ap. Delphos* 21, p. 394 (de Apolline); (ii) id. *de Def. Or.* 7, p. 413; (iii) id. *adv. Epic.* 22, p. 1102

137. μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ.

Eustath. *Il.* p. 9, 46 Μοῦσα codd., corr. Boeckh

138. Μοῖσ' ἀνέηκέ με

Eustath. *Il.* p. 9, 40

139. μελισσοτεύκτων κηρίων
ἐμὰ γλυκερώτερος ὀμφά.

Cramer *Anecd. Oxon.* i 285, 19

140. δενδρέων δὲ νομὸν Διώ-
νυσος πολυγαθὴς αὐξάνοι,
ἁγνὸν φέγγος ὀπώρας

Plut. *de Is. et Os.* 35, p. 365; *Quaest. Symp.* ix 14, p. 745

141. τί ἔρδων φίλος
τίν τε, καρτερόβροντα
Κρονίδα, φίλος δὲ Μοίσαις,
Εὐθυμίᾳ τε μέλων εἴην,
τοῦτ' αἴτημί σε.

Athen. v 191F 2 *τίν* Schroeder: *σοί* codd. 4 *μελῶν* codd., corr. Casaubon

142. ζαμενὴς ὁ χοροιτύπος
ὃν Μαλέας ὄρος ἔθρεψε, Ναΐδος ἀκοίτας

Paus. iii 25, 2 (de Sileno) 1 *ὁ ζαμενὴς δ'* codd., corr. Schroeder 2 *Μαλέας ὄρος* Wilamowitz: *μαλέγορος* codd.

143. ὦ τάλας ἐφάμερε, νήπια βάζεις
χρήματά μοι διακομπέων

Schol. Aristoph. *Nub.* 223 (ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ τοιούτους περιέθηκε λόγους) 1 ἐφήμερε codd., corr. Hermann νήπιε codd., corr. Kuster

144. ταῖς ἱεραῖσι μελίσσαις τέρπεται

Schol. Pind. *Pyth.* iv 104 (μελίσσας· τὰς περὶ τὰ θεῖα καὶ μυστικὰ διατελούσας νύμφας καὶ μελίσσας ἔλεγον.)

145. ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος

Dion. Hal. *de Orat. Antiq.* 2

146. θανόντων δὲ καὶ φίλοι προδόται

Stob. iv 58, 2 καὶ λόγοι φίλοι codd., corr. Bergk

147. οἱ μὲν κατω-
κάρα δεσμοῖσι δέδενται

Schol. Aristoph. *Pax* 152

148. a. πιτνάντες θοὰν
κλίμακ' ἐς οὐρανὸν αἰπύν

Cramer *Anecd. Oxon.* i 201, 14 (de Oto et Ephialte)

b. ἀλλαλοφόνους ἐπάξαντο λόγ-
χας ἐνὶ σφίσιν αὐτοῖς

Apoll. Dysc. *Synt.* p. 243 Uhlig

149. φιλόμαχον γένος ἐκ Περσέος

Athen. iv 154F

150. ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥι-
πὰν μελιαδέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν

ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων πί-
νοντες ἐπλάζοντο . . . .
ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς
ᾤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν

(i) 1–3 Athen. ix 476 B; (ii) 4–5 Schol. Ap. Rhod. i 57   1 ἀνδροδάμαντα δ' Boeckh: οδαμαν δ' codd.   μελιηδέος codd., corr. Boeckh   5 ᾤχεθ' Boeckh: οἴχεται L: ᾤχετο dett.

151. δοιὰ βοῶν
θερμὰ πρὸς ἀνθρακιὰν στέ-
ψεν, πυρὶ δ' ἐν πόλεον
σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ⟨ἴδον⟩ ἠδ' ὀ-
στέων στεναγμὸν βαρύν·
ἦν διακρῖναι ἰδόντ' ⟨οὐ⟩ πολλὸς ἐν καιρῷ χρόνος.

Athen. x 411 C. Cf. Philostr. *Imag.* ii 24 (Ἡρακλῆς ἐς τὴν τοῦ Κορωνοῦ στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον)   1 δοιὰ Boeckh: διὰ codd.   2 στέψαν codd., corr. Schroeder   ἐν πόλεον Christ: υπνωοντε codd.   3 ἴδον supp. Schroeder: ἄιον Meineke   4 ἰδόντα διακρῖναι codd., transp. Bergk   οὐ supp. Coraes

152. νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί. τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γαρυόνα βόας
Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἔλασεν

(i) Plato *Gorg.* 484 B; (ii) 1–4 χειρί Schol. Pind. *Nem.* ix 35; (iii) 5 ἐπεὶ–7 Aristid. ii 68 cum scholiis iii 408 Dindorf   3 δικαιῶν τὸ βιαιότατον Schol. Pind.: βιαίων τὸ δικαιότατον codd. Plat.   5 Γαρυόνα Boeckh, Schroeder: γηρυόνου codd.

153. πάντα θύειν ἑκατὸν

Strab. iii 155 (de hecatombis)

154. κατὰ μὲν φίλα τέκνα
ἔπεφνεν θάλλοντας ἥβᾳ δώδεκ', αὐτὸν δὲ τρίτον

Porphyr. ap. schol. B *Il.* K 252   2 θάλλοντα codd., corr. Boeckh   δυώδεκ' codd., corr. Schroeder

155. [οὐ] Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν
μυρίοις· πρῶτον μὲν Ἀλκμάνας σὺν υἱῷ
Τρώϊον ἂμ πεδίον,
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν,
καὶ τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις
εἷλε Μήδειαν ἐν Κόλχων δόμοις

Schol. Eur. *Androm.* 796 1 οὐ del Cobet πηλέως A, corr. Boeckh μόχθοις νεότας Bergk : μόχθοι νεωτάτοις M : μόχθοιν νεώτατ' A 2 ἀλκμήνης A, corr. Boeckh 3 ἀμαζόνας A, corr. Bothe ἦλθε A, corr. Boeckh 4 εὔδοξον dett. : ἔνδοξον A, om. M ἐκτελέσας A, corr. Schneidewin : ἐκτελευτήσας M

156. Σύριον εὐρυαίχμαν διεῖπον στρατόν

Strab. xii 544 (αἱ Ἀμαζόνες Σύριον κτλ.)

157. τὸ δὲ ἱερὸν τὸ ἐν Διδύμοις τοῦ Ἀπόλλωνος καὶ τὸ μαντεῖόν ἐστιν ἀρχαιότερον ἢ κατὰ τὴν Ἰώνων ἐσοίκησιν· πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. οὐ μὴν πάντα γε τὰ ἐς τὴν θεὸν ἐπύθετο ἐμοὶ δοκεῖν Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα.

Paus. vii 2, 6–7

158. ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος. ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι.

Paus. i 2, 1

159. τῆς δὲ Ἀντιόπης ἀποθανούσης (Θησεὺς) ἔγημε Φαίδραν ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι Δημοφοῶντα.

Plut. *Vit. Thes.* 28. Error videtur subesse

160. οὔτε πελέκεις οὔτε Σηρήν

Pap. Berol. 13875 (ταῦτα πρὸς Σιμωνίδην· ἐπεὶ ἐκεῖνος ἐν ἑνὶ [α]ἴσματι ἐπόησεν Σειρῆνα τὸν Πεισίστρατον). Pindaro fragmentum attribuit G. Zuntz. οὐδὲ . . . ουδὲ pap., corr. Zuntz

161. πεπρωμέναν ἔθηκε μοῖραν μετατραπεῖν

Heliodorus ap. Priscian. (Gramm. Lat. iii 427)

162. ἀνδροφθόρον, οὐδὲ σιγᾷ κατερρύη

ib.

163. τροχὸν μέλος, ταὶ δὲ Χίρωνος ἐντολαί

ib.

164. αἴνιγμα παρθένου ἐξ ἀγριᾶν γνάθων

ib.

165. ἐν δασκίοισιν πατήρ, νηλεεῖ νόῳ δ'

ib.

166. δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι

ib.

167. νόμων ἀκούοντες θεόδματον κέλαδον

ib. (428)

168. ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι

(i) Schol. Ap. Rhod. ii 477 (de Nymphis); (ii) Plut. *de Def. Orac.* 11, p. 415; (iii) Plut. *Amat.* 15, p. 757

169. ὑφαίνω δ' Ἀμυθαονίδαισιν ποικίλον
ἄνδημα

Schol. Pind. *Nem.* vii 116 ἀμυθαωνίδαις BD, corr. Boeckh

170. μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέν-
τρον δὲ μάχας ὁ κρατιστεύων λόγος

Clem. Alex. *Str.* i 345 1 ἀχρεῖον Boeckh : ἀρχαῖον codd.

171. ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται

Schol. Pind. *Nem.* vii 89. Pindaro attribuit Boeckh

172. ὢ πόποι οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων
οὐκ ἰδυῖα

Aristid. ii p. 238 Keil (de Eriphyla)

173. ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον

Strab. ix 431 (de Phoenice)

174. ὑπερμενὲς ἀκαμαντόχαρμαν Αἴαν

Choerob. ap. Herodian. ii 659, 26

175. ἔτι δὲ τειχέων κακίει καπνός

(i) Cramer *Anecd. Par.* iv 35, 24; (ii) *Etym. Gud.* 321, 54

176. αὐτόν με πρώτιστα ξυνοικιστῆρα γαίας
ἔσδεξαι τεμενοῦχον

Apoll. Dysc. *Synt.* p. 138

177. ἥρωες αἰδοίαν ἐμείγνυντ' ἀμφὶ τράπεζαν θαμά

Plut. *Quaest. Symp.* ii 10, 1, p. 643

178. φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνά-
στου Κολοφωνίου ἀνδρός

Strab. xiv 643. Cf. ps.-Plut. *de Mus.* 5, p. 1133 τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος καὶ Ἀλκμάν οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν.

179. πανδείματοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱερὸν cf fr. 29

Schol. Aristoph. *Vesp.* 306

180. ⟨αὐλὸς⟩ Αἰολεὺς ἔβαινε
Δωρίαν κέλευθον ὕμνων

Schol. Pind. *Pyth.* ii 127 1 αὐλὸς supp. Boeckh

181. ἁ Μειδύλου δ' αὐτῷ γενεά

Schol. Pind. *Pyth.* viii 53 Μιδύλου codd., corr. Boeckh γέννα codd., corr. Hermann

182. Δελφοὶ θεμίστων μάντιες
Ἀπολλωνίδαι

Schol. Pind. *Pyth.* iv 4 1 θεμίστων ὕμνων codd., corr. Heyne

183. πενταετηρὶς ἑορτὰ
βουπομπός, ἐν ᾇ πρῶτον εὐ-
νάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις

Vit. Pind. Ambr. p. 2, 18 Drachmann

184. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς·
εἶα τειχίζωμεν ἤδη ποικίλον
κόσμον αὐδάεντα λόγων . . .
. . . . . . . . .
καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως Θή-
βαν ἔτι μᾶλλον ἐπασκήσει θεῶν
καὶ κατ' ἀνθρώπων ἀγυιάς.

Aristid. ii p. 159 Keil 2 εἶα Bergk: εια A: οἷα vulg. ποικίλων Bergk 4 ὃς καὶ Boeckh ἐοῦσαν codd., corr. Boeckh

185. Εὐάρματε χρυσοχίτων, ἱερώτατον
ἄγαλμα, Θήβα

Schol. Pind. *Pyth.* iv 25

186. λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον

Schol. inscr. Pind. *Pyth.* ii

187. οὔτοι με ξένον
οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ
Θῆβαι

Chrysippus περὶ ἀποφατικῶν 2. Pindaro tribuit Letronne

188. μελιγαθὲς ἀμβρόσιον ὕδωρ
Τιλφώσσας ἀπὸ καλλικράνου

Athen. ii 41 E

189. ἔνθα βουλαὶ μὲν γερόντων
καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,
καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα

Plut. *Vit. Lycurg.* 21 (de Sparta) 1 μὲν supp. Boeckh 2 ἀριστεύοισιν Boeckh: ἀριστεύουσιν Plut. *An Seni* 10, p. 789: ἀριστευόντων Plut. *Vit. Lycurg.* 3 Μοῖσα Boeckh: Μοῦσαι Plut. *Lycurg.*: μοῦσα Plut. *An Seni* 6

190. Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας
ἔσχατον Νείλου κέρας, αἰγιβάται
ὅθι τράγοι γυναιξὶ μίσγονται

Strab. xvii 802. Cf. Aristid. ii 298 et Ael. *N.A.* vii 19 1 αἰγιβάται Hermann: αἰγίβατοι codd.

191. λευκίππων Μυκαναίων προφᾶται

Schol. Pind. *Pyth.* iv 206

192. ἄνδρες θήν τινες ἀκκιζόμενοι [Σκύθαι]
νεκρὸν ἵππον στυγέοισι λόγῳ κείμενον ἐν φάει, κρυφᾷ δὲ
σκολιαῖς γένυσιν ἀνδέροντι πόδας ἠδὲ κεφαλὰν

Zenob. v. 59 1 θάν codd., corr. Schroeder Σκύθαι secl. Schroeder: ἅπερ Σκύθαι Wilamowitz 2 κείμενον Wilamowitz: κτάμενον codd. φάει Heyne: φασί codd. 3 σκολιαῖς Boeckh: σκολιαί, σκολιοὺς codd. ἀνδέροντι Schroeder: ἀναδέροντι, ἀνδέρουσι codd.

193. καὶ λιπαρῷ Σμυρναίων ἄστει

Schol. inscr. Pind. *Pyth.* ii Σμυρναίῳ codd., corr. Boeckh

194. Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ᾽ Ἀλά-
θεια, μὴ πταίσῃς ἐμὰν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει

Stob. iii 11, 18

195. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων

(i) Plut. *Vit. Nic.* 1 (proverbii instar); (ii) id. *de Discr. Adul.* 24 οἰχνέων Bergk: οἰχνεύων codd.

196. Ταρτάρου πυθμὴν πιέζει σ᾽ ἀφανὴς
σφυρηλάτοις ἀνάγκαις

Plut. *Cons. ad Apollon.* 6, p. 104 1 ἀφανὴς Hermann: ἀφανοῦς codd.

197. ἀτελῆ σοφίας καρπὸν δρέποντι

Stob. ii 1, 21 (τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος ἀτελῆ . . . δρέπειν) δρέποντι scripsi: δρέπειν codd.

198. ἄγαν φιλοτιμίαν
μνώμενοι ἐν πολίεσσιν ἄνδρες
ἢ στάσιν, ἄλγος ἐμφανὲς

Plut. *de Cohib. Ira* 8, p. 457 2 πόλεσιν codd., corr. Boeckh

199. κακόφρονά τ᾽ ἄμφανεν πραπίδων καρπὸν

Plut. *de Ser. Num. Vind.* 19, p. 562 (de malitia) ἄμφανεν Schroeder: ἀμφάνη Ruhnken: ἀμφανῆ codd.

**200.** φθόνον κενεοφρόνων ἑταῖρον ἀνδρῶν

Plut. *de Inim. Util.* 10, p. 91

**201.**
πότερον δίκᾳ τεῖχος ὕψιον
ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνδρῶν
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν

(i) Plat. *Rep.* ii 365 B; (ii) Max. Tyr. xviii 1

**202.**
γλυκεῖά οἱ καρδίαν
ἀτάλλοισα γηροτρόφος συναορεῖ
Ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώ-
μαν κυβερνᾷ

Plat. *Rep.* i 331 A

**203.** ἄλλο δ' ἄλλοισιν νόμισμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος

Cramer *Anecd. Par.* iii 154, 13

**204.**
σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄ-
γαν ἔπος αἴνησαν περισσῶς

Plut. *Cons. ad Apollon.* 28, p. 116

**205.** γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος

Clem. Alex. *Paedag.* iii 295

**206.** ὁ δ' ἄφνει πέποιθεν

*Et. Mag.* 178, 10

**207.**
τῶν οὔ τι μεμπτὸν
οὔτ' ὦν μεταλλακτόν, ὅσσ' ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν

Plut. *Quaest. Conv.* 5, 3, p. 705 1 τῶν οὔ τι Schroeder: τῶνδε γὰρ οὔτε τι Plut. 2 μεταλλακτόν Heyne: μεταλλάττων codd. ὅσσ' ἀγλαὰ χθὼν Schneider: ὡς ἀγλαόχθων codd. sec. Wyttenbach

208. ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύ-
σοις θαλάμοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον
ναῒ θοᾷ σῶς διαμείβων

Sext. Emp. *Hyp. Pyrrh.* i 86 1 εὐφραίνουσιν codd., corr. Boeckh 2 τίμια Boeckh : τιμαὶ codd. 4 διαμείβων P. Maas : διαστείβων codd. : χθόν' ἀμείβων Stahl

209. Διὸς παῖς ὁ χρυσός·
κεῖνον οὐ σὴς οὐδὲ κίς,
δάπτει ⟨δὲ⟩ βροτέαν φρένα κάρτι-
στον κτεάνων

(i) Schol. Pind. *Pyth.* iv 407; (ii) Plut. ap. Procl. ad Hes. *Op.* 430 3 δὲ supp. Schroeder κτεάνων Boeckh : φρενῶν codd.

210. . . . καὶ χρυσέων βελέων
. . . ἔντι τραυματίαι

Theod. *Metoch.* p. 562 (de avaris)

211. ἴσον μὲν θεὸν ἄνδρα τε φίλον ⟨θεῷ⟩
ὑποτρέσσαι

Schol. A *Il.* xvii 98 1 θεῷ supp. Heyne 2 incertum an ὑποτρέσαι Pindaro tribuendum sit

212. ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν

Schol. Pind. *Ol.* ii 48

213. οὔτις ἑκὼν κακὸν εὕρετο

Aristid. ii 238

214. νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . .

Clem. Alex. *Str.* iv 586 2 εὑρίσκουσι codd., corr. Boeckh 3 αἰθέρ' ἀερθέντα Boeckh : αἰθέρα λαμπευθέντα codd.

215. τιθεμένων ἀγώνων πρόφασις
. . . ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον

Plut. *An Seni* 1, p. 783    2 lacunam indicavit Bergk : τὰν supp. Herwerden

216. νικώμενοι ἄνδρες ἀγρυξίᾳ δέδενται
καὶ φίλων ἐναντίον ἐλθεῖν

Schol. Pind. *Ol.* viii 92    2 καὶ φίλων NPUV : καὶ οὐδὲ φίλων C : οὐ φίλων BED    ἐναντίον τολμῶντες ἐλθεῖν C

217. τόλμα τέ νιν ζαμενὴς καὶ σύνεσις
πρόσκοπος ἐσάωσεν

Schol. Pind. *Nem.* vii 87    1 τέ νιν Beck : τε μὲν B : τε D

218. τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον
σχήσει τεῖχος

Plut. *Vit. Marcell.* 29    2 ἔσχε Schroeder

219. πιστὸν δ' ἀπίστοις οὐδὲν

Clem. Alex. *Paed.* iii 307

220. ὑφ' ἅρμασιν ἵππος,
ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς,
κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον εὑρεῖν.

(i) Plut. *de Virt. Mor.* 12, p. 451; (ii) Plut. *de Tranq. Anim.* 14, p. 472    3 εὑρεῖν Schroeder : ἐξευρεῖν codd.

221. φιλάνορα δ' οὐκ ἔλιπον βιοτὰν

(i) Schol. *Od.* κ 240 ; (ii) Eust. *Od.* 1657, 13    (δελφῖνες ἐξ ἀνθρώπων γενομένοι)

222. ὄπισθεν δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων

Aristid. ii 159

223. ἔνθα ποῖμναι κτιλεύονται κάπρων
καὶ λεόντων

Schol. Pind. *Pyth.* ii 31    1 αἱ ποῖμναι EG, corr. Boeckh : ποιμένες vulgo    2 λεόντων τε codd., corr. Schroeder

**224.** . . . ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων

Herodian. *De Fig.* (*Rhet. Graec.* iii 100, 28)

**225.** ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ

(i) Athen. vi 248 c (περὶ παρασίτων); (ii) id. i 24 B

**226.** ἁ μὲν πόλις Αἰακιδᾶν

Schol. Ven. Aristoph. *Pax* 251 (de Aegina)

**227.** φὰν δ' ἔμμεναι
Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος

Herodian. *De Fig.* (*Rhet. Graec.* iii 100, 15 de Pirithoo et Theseo)

**228.** πρόφασιν βληχροῦ γενέσθαι νείκεος

Cramer *Anecd. Oxon.* i 95, 5 γίνεται codd., corr. Schroeder

**229.** μελιρρόθων δ' ἕπεται ἐπέων πλόκοι

Lesbonax *De Fig.* ed. Müller, pp. 44–5 (de schemate Pindarico) ἐπέων πλόκοι Schroeder: πλόκαμοι codd.

**230.** διοίγετο σάρκες

Ibid. διοίγετο e schol. Philostr. p. 193 Schroeder

**231.** δυσφόρων σχοινίον μεριμνᾶν

Plut. *de Adul. Amic.* 27, p. 68

**232.** χεῖρ' Ἀκιδαλίας

*Et. Flor.* ap. Miller *Mélanges Litt. Gr.* 186

**233.** πρόσθα μέν σ' Ἀχελωίου
τὸν ἀοιδότατον εὐρωπία
κράνα Μέλ⟨ανό⟩ς τε ποταμοῦ ῥοαὶ τρέφον κάλαμον

Ammonius ad *Il.* Φ 195 (Pap. Oxy. ii p. 64) 3 supp. Wilamowitz Cf. Paus. v 14, 6

234. ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται
μόχθος ἄμμιν; τοῦτό γέ τοι ἐρέω·
καλῶν μὲν ὦν μοῖράν τε τερ-
πνῶν ἐς μέσον χρὴ πάντι λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώ-
ποισι θεόσδοτος ἀτλάτα κακότας
προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.

Stob. iv 45, 1 4 ἀτλάτα κακότας Boeckh: ἀτληκηκότας Vind.: ἄτη B 5 προστύχοι B

235. ὦ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει·
τῷ παρέοντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει.

Athen. xii 513c (ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδὶ)

236. ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται

Eustath. *Proem. Comm. Pind.* 21 ἁρμοῖ Schneidewin

237. οὐ ψεῦδος ἐρίξω

Ibid.

238. ἐνίκασαν οἱ

Ibid. 11 (= οἱ ἐνίκ.) ἐνίκησαν codd., corr. Schneidewin

239. τρεχέτω δὲ μετὰ
Πληϊόναν, ἅμα δ' αὐτῷ κύων . . . λεοντοδάμας

Schol. Pind. *Nem.* ii 17 λεοντοδάμας e Lucian pro Imagg. 19 supp. Boeckh

240. κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται . . .
. . .
ἀλλ' οἶος ἄπλατον κεράϊζες θεῶν
Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ, Ζεῦ πάτερ,
ἐν Ἀρίμοις ποτέ.

Strab. xiii 626–7

241. ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι
Hephaest. p. 44, 17 Consbruch   μουσαγέτας codd., corr. Boeckh

242. ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ
Hephaest. p. 44, 18 Consbruch

243. εὐρύζυγον
Eustath. *Proem. Comm. Pind.* 16 (de Iove)

244. κρατησιβίαν χερσὶ
Ibid. 21

245. ἁρμασιδούπους
Ibid. 21

246. ἐλασίχθονα
Ibid. 21 (de Neptuno)

247. ἀγῶνα μνασιστέφανον
Ibid. 16

248. μναστῆρα στεφάνων
Ibid. 16 μνηστῆρα codd. : corr. Schroeder

249. λιτὰν
Ibid. 19 (εὐκταίαν)   λιτὴν codd., corr. Schroeder

250. τόσσαι καλῶν
Ibid. 21

251. ἀμευσιεπῆ φροντίδα
Ibid. 21

252. πέδοικος
Ibid. 21

253. πεδὰ στόμα φλέγει
Ibid. 21

254. πεδασχεῖν
Ibid. 21

255. ἀκασκᾷ
Ibid. 21 (ἡσύχως)

256. ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.
Aristid. ii 334 (Dindorf)

257. πλέον τι λαχών

Aristid. ii 346–7 (περὶ Διός)

258. ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν

Liban. *Ep.* 1218 Foerster  δένδρῳ codd., corr. Boeckhii amicus

259. a. πότερον δὲ χρὴ λέγειν Ἑλλούς, ὡς Πίνδαρος, ἢ Σελλούς, ὡς ὑπονοοῦσι παρ' Ὁμήρῳ κεῖσθαι, ἡ γραφὴ ἀμφίβολος οὖσα οὐκ ἐᾷ διισχυρίζεσθαι.

Strab. vii 328

b. Σελλοὶ . . καὶ οἱ μὲν Ἑλλοὺς αὐτοὺς ἐξεδέξαντο, ὡς Πίνδαρος.

*Etym. Magn.* 709, 36

c. Πίνδαρος χωρὶς τοῦ σ ἀπὸ Ἑλλοῦ τοῦ δρυτόμου, ᾧ φασι τὴν περιστερὰν πρώτην καταδεῖξαι τὸ μαντεῖον.

Schol. A *Il.* Π 234

d. Ἑλλοὶ κατὰ Πίνδαρον

Eustath. *Il.* 1057, 57

260. a. τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλόν, λίθου πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ γῆς πάσης αὐτοί τε λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινι Πίνδαρος ὁμολογοῦντά σφισιν ἐποίησεν.

Paus. x 16, 3

b. καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον, ὅν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ αἰετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως, ὁ δ' ἀπὸ τῆς ἀνατολῆς.

Strab. ix 419

261. Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα, διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ.

Schol. Aesch. *Eum.* 2

262. a. χαῖρε φίλον φάος χαρίεντι μειδιόον προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσᾴσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος.

Himer. *Or.* iii 3

b. τὰ δὲ σὰ νῦν δέον καὶ αὐτῷ τῷ Μουσηγέτῃ εἰκάζεσθαι, οἷον αὐτὸν καὶ Σαπφὼ καὶ Πίνδαρος ἐν ᾠδῇ κόμῃ τε χρυσῇ καὶ λύραις κοσμήσαντες κύκνοις ἔποχον εἰς Ἑλικῶνα πέμπουσι.

Id. *Or.* xiii 7

263. ἡ Δωδώνη τοίνυν τὸ μὲν παλαιὸν ὑπὸ Θεσπρωτοῖς ἦν... καὶ οἱ τραγικοί τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην.

Strab. vii 328

264. Antimachus autem dicit (Orionis patrem) quendam Hyriea fuisse Thebis, Pindarus autem in insula Chio.

Hygin. *Astron.* ii 34, p. 72 B

265. Γῆ δέ, φασὶν οἱ Ἕλληνες, ἄνθρωπον ἀνέδωκε πρώτη καλὸν ἐνεγκαμένη γέρας, μὴ φυτῶν ἀναισθήτων μηδὲ θηρίων ἀλόγων ἀλλὰ ἡμέρου ζῴου καὶ θεοφιλοῦς ἐθέλουσα μήτηρ γενέσθαι. χαλεπὸν δέ φησιν ἐξευρεῖν εἴτε Βοιωτοῖς Ἀλκομενεὺς ὑπὲρ λίμνης Κηφισίδος ἀνέσχε πρῶτος ἀνθρώπων, εἴτε Κουρῆτες ἢ Σανίδαι οἱ θεῖον γένος ἢ Φρύγιοι Κορύβαντες οὓς πρώτους ἥλιος ἐπεῖδε δενδροφυεῖς ἀναβλαστάνοντας, εἴτε πρὸς σεληναῖον Ἀρκάδα διὰ Πελασγὸν ἠραρυίας οἰκήτορα, δίαυλον Ἐλευσὶν ἢ Λῆμνος καλλίπαιδα Κάβιρον ἀρρήτων ἐτέκνωσεν ὀργιασμῷ, εἴτε Πελλήνη Φλεγραῖον Ἀλκυονέα πρεσβύτατον Γιγάντων. Λίβυες δὲ Τάρβαντα φασὶ πρωτόγονον αὐχμηρῶν ἀναδύντα πεδίων γλυκείας ἀπάρξασθαι Διὸς βαλάνου. Αἰγυπτίαν δὲ Νεῖλος ὕλην ἐπιλιπαίνων, μέχρι σήμερον ζωογονῶν, φησίν, ὑγρᾶς ἀρκούμενα θερμότητι ζῷα καὶ σῶμα ἀναδίδωσιν.

Hippolyt. *Ref. Haeres.* v 7, 3 Wendland. Fragmenta carminis Pindarici agnovit Schneidewin ; nullum tamen in ordinem posse redigi videntur

**266.** Huic opinioni Pindarus refragatur, qui eum ait de Cea insula in Arcadiam migrasse ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit qualiter apes debeant reparari.

Servius ad Verg. *Georg.* i 14 (de Aristaeo)

**267.** a. Et Pindarus 'parvula favorum fabricatrix, quae Rhoecum pupugisti aculeo, domans illius perfidiam'.

Plut. *Quaest. Natt.* 36 trans. Gybertus Longolius e codice Mediolanensi

b. Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυὶ Νύμφη ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν, ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεσσεύοντος αὐτοῦ παρίπτατο ἡ μέλισσα. πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν Νύμφην ὥστε πηρωθῆναι. καὶ Πίνδαρος δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον· ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.

Schol. Apoll. Rhod. ii 477. Cf. Schol. Theocr. iii 13

**268.** Αὐτόχθονες . . ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον τὸν Ἡφαίστου ἐκ γῆς φανῆναι

Harpocrat. p. 41, Bekker    2 τὸν Ἡφαίστου Schroeder: καὶ Ἥφαιστον codd.

**269.** αὗται δὲ αἱ νύμφαι πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασι εἶναι πήραν· Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως.

Apollod. *Bibl.* ii 4, 2 (de Gorgonibus)

270. Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε καλεῖν τοὺς Θετταλοὺς καὶ Ἐμμενίδας τοὺς ἐπὶ Σικελίας.

Schol. Pind. *Nem.* vii 103

271. a. καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας, εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.

Strab. iii 170

b. καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα.

Strab. iii 172

272. περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει (Μεγασθενὴς) Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.

Strab. xv 711

273. Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι; Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον . . . ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.

Paus. i 41, 5 7 βουλόμενος codd. 8 Lacunam supplevit ἁρπασθεῖσαν τὴν Ἑλένην διαφυλάξαι Schroeder 9 συμπράξαντα codd., corr. Coraes

274. καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.

Schol. Townl. *Il.* Π 170 πεντήκοντα ἐρεγμούς codd., corr. Boeckh

275. καίτοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (Παλαμήδην) κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι τοῦ χείρονος;

Aristid. ii 339 Dindorf

276. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε.

Soph. *Ai.* Arg. (de morte Aiacis)

277. Ῥῆσος γένει μὲν ἦν Θρᾷξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν· δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει· κατελθοῦσα δὲ ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος.

Schol. A *Il.* K 435

278. τούτων τε (Ἀλωάδων) δή ἐστι τῇ Ἀνθηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν, οἵ τε ἄλλοι πιστὰ ἥγηνται καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε.

Paus. ix 22, 7

**279.** a. Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι.

*Vit. Hom. Plut.* ii 2, p. 244 Allen

b. Ὅμηρος . . . τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος.

*Vit. Hom.* v 2, p. 247 Allen

c. Ἀναξιμένης μὲν οὖν καὶ Δαμάστης καὶ Πίνδαρος ὁ μελοποιὸς Χῖον αὐτὸν ἀποφαίνονται.

*Vit. Hom.* vi 7, p. 250 Allen

**280.** λέγεται δὲ κἀκεῖνο. . . ὅτι ἄρα ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια. καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

Aelian *Var. Hist.* ix 15 (de Homero)

**281.** [τοὺς Κύκλωπάς φησι Πίν]δαρος δε[θῆναι ὑ]πὸ Διὸς φο[βηθέντος] μή τινί πο[τε θεῶν] ὅπλα κατ[ασκευάσωσιν. τὸν Ἀσκλ[ηπιὸν δ' ὑ]πὸ Διὸς κε[ραυνω]θῆναι γέγρα[φεν Ἡ]σίοδος κα[ὶ] Πίνδαρος.

Philodemus Περὶ Εὐσεβείας, p. 17 Gomperz col. 45 a/b. Lacunas supp. Gomperz, Bergk, Philippson

**282.** a. ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος ⟨τοὺς αὐλούς, ὥστ'⟩ εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν κτλ.

Paus. ix 30, 2 1 συνεὶς Bekker: σύνεισι, συνοίσει codd. 3 supp. Christ

b. γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· ὁ δ' αὐτὸς καὶ αὐλητὴς ἀγαθός, καὶ τὰ Πύθια τρὶς νενικηκὼς ἀναγέγραπται· τούτου καὶ Πίνδαρος μνημονεύει.

Ps.-Plut. *de Mus.* 8, p. 1134 2 αὐλητὴς Wyttenbach: ποιητὴς codd.

283. Ἄβαρις· Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν νγʹ αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα.

Harpocrat. s.v. Ἄβαρις

284. ἔοικε δὲ (Celsus) εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου.

Origen *Cels.* iii 26 (de Aristea)

285. ἐπέβαλε δὲ (Πίνδαρος) τοῖς χρόνοις Σιμωνίδου ᾗ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων. καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε καὶ Πίνδαρος μέμνηται τῆς †Κάδμου βασιλείας.

*Vit. Pind. Ambr.* p. 3 Drachmann 3 Κάδμου vix sanum : Καμβύσου Boeckh : Δαρείου J. G. Schneider : Ξέρξου C. Schneider

286. Αἰσωνὶς πόλις τῆς Μαγνησίας ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός φησι καὶ Φερεκύδης.

Schol. Ap. Rhod. i 411

287. Non enim pluvias, ut ait Pindarus, aquas colligit, sed vivo gurgite exundat.

Quint. x 1, 109 (de Cicerone)

288. Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ καὶ θαυμάζειν ὅτι . . . οὐδὲν γάρ ἐστι δεινὸν οὐδ' ἄτοπον αἰτίας ζητεῖν τῶν τοιούτων μεταβολῶν· ἀναιρεῖν δὲ τὰς τέχνας καὶ τὰς δυνάμεις, ἄν τι κινηθῇ καὶ παραλλάξῃ τῶν κατὰ ταύτας, οὐ δίκαιον.

Plut. *Pyth. Orac.* 18, p. 403

289. τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι καὶ σπαράττουσι δή τινες Κῆρες ὀλβοθρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν.

Theod. Metoch. p. 282

290. καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως.

Theod. Metoch. p. 493  2 φύσιος Boeckh

291. πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὥς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.

Liban. *Or.* xiv 21 (de Iuliano et Constantio)

292. ἔπειτα δ' ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν οὔτε ἄνδρα οὔτε ἡμίθεον ἀλλ' ὅλον δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτὸν ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως ἀξιῶν βαίνειν.

Philo ii 404 Mangey

293. ὑπὸ] λῃστῶν ἁλ[ῶναι] | γράφει· καὶ Π[ίνδα]|ρος δὲ διέρχ[εται] | περὶ τῆς λῃ[στεί]|ας.

Philodemus Περὶ εὐσεβείας, p. 42, col. 91 (de Dionyso)

294. a. πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.

Philostrat. *Vit. Apollon. Tyan.* vi 26 (de fontibus Nili)

b. Ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα, ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν.

Schol. Arat. 283

295. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος· οὕτω γραπτέον· παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ.

Photius (74. 1) et Suidas ad Plat. *Rep.* ii 378 D. Cf. Aristid. ii 331, 19

296. αὐτὴ δέ (Δανάη), ὥς φησι Πίνδαρος καὶ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη.

Schol. AB *Il.* Ξ 319. Fragmentum Pindaro abiudicavit Schroeder, coll. Apollod. ii 34

297. In huius (Apollinis) etiam tutelam corvum volunt, sive quod . . . sive quod in orneoscopicis libris secundum Anaximandrum sive etiam secundum Pindarum solus inter omnes aves sexaginta quattuor significationes habet vocum.

Fulgent. *Mytholog.* i 13

298. χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν (Aeschylus) αὐτὸν ἐκεῖσε (Delo Delphos proficiscentem per Athenas) Ἀπόλλωνα, κἀκεῖθεν τὴν παραπομπὴν αὐτῷ εἶναι, ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας.

Schol. Aesch. *Eum.* 11 3 παραπομπὴν Heyne: περιπομπὴν codd.

299. ὁ μὲν Πίνδαρός που φησὶ μήλων τε χρυσῶν εἶναι φύλαξ, τὰ δὲ εἶναι Μουσῶν, καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν.

Liban. *Ep.* xxxvi Foerster

300. λέγεται δὲ ἐς μὲν Κόρκυραν, ὡς μιχθείη Ποσειδῶν αὐτῇ. τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία.

Paus. v 22, 6

301. Pindarus initio Alcidem nominatum postea Herculem dicit ab Hera quam Iunonem dicimus, quod eius imperiis opinionem famamque virtutis sit consecutus.

Probus ad Verg. *Ecl.* vii 61

302. a. ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ πέτεται κατὰ Πίνδαρον "τᾶς τε γᾶς ὑπένερθε" καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, "οὐρανοῦ θ' ὕπερ" ἀστρονομοῦσα, καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα.

Plat. *Theaet.* 173 E 2 πέτεται B²W; φέρεται BT τᾶς τε Campbell; τᾶ (τά) τε codd.

b. τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθεν τοῦ οὐρανοῦ κατὰ Πίνδαρον ἐπισκοπεῖ.

Galen *Protrep.* 1. Cf. Marc. Aur. Antonin. *Comm.* ii 13, Porphyr. *de Abstin.* i 36, Macar. viii 5

303. Ἀλέρα καὶ Ἐλάρα· Ἐλάρας γενεά (Tityus)· οὕτως παρὰ Σιμωνίδῃ, Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον Ἀλέρας υἱόν.

*Etym. Magn.* 60, 37

304. Ἀπέσας· ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος

Steph. Byz. 104, 13

305. ἀράχνη· θηλυκῶς τὸ ὕφασμα, ἀράχνης δὲ ἀρσενικῶς τὸ ζωΰφιον. εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ.

Suidas s. v. ἀράχνη

306. ἐμὶν τείν· χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν.

Schol. Aristoph. *Aves* 931

307. ἐξεστηκώς· διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ παρὰ Πινδάρῳ· ὁτὲ μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι, ὁτὲ δὲ τὸ ὑπαναχωρεῖν καὶ ἐξέρχεσθαι ἢ ἀφίστασθαι δηλοῖ.

*Etym. Gud.* 193, 9

308. ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους· ἔπετος γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν· οὐχὶ διὰ τοῦ φ ἀλλὰ διὰ τοῦ π· ὥς φησι Πίνδαρος καὶ Δημοσθένης.

*Etym. Magn.* 486, 2

309. ξανθὰν δὲ κατὰ τὴν ἔμφασιν ἔφη ὁ Πίνδαρος νεφέλην τὴν ἔγκυον οὖσαν χρυσοῦ, καθὸ καὶ τὴν ὕδωρ ἔχουσαν ζοφώδη.

Schol. Pind. *Ol.* vii 86

310. ἐχέτης ὁ πλούσιος, ὡς Πίνδαρος

*Etym. Magn.* 404, 21

311. ἠλαιοῦντο . . . κατὰ Πίνδαρον

Eustath. *Il.* 975, 47

312. καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους

Schol. Townl. *Il.* Φ 22

313. συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὡς ἰογλέφαρον ἐξεργάσασθαι (Venerem).

Ps.-Lucian. *Imagines* 8

314. ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ

Steph. Byz. s.v. Κρηστών

315. μάρη . . . ἡ χεὶρ κατὰ Πίνδαρον

Schol. BT *Il.* O 137

316. ξεινοδόκησέν τε δαίμων

Apollon. *Lex. Hom.* 117, 25

317. ὀρεικτίτου συός

(i) Schol. Pind. *Pyth.* ii 31; (ii) Schol. Eur. *Phoen.* 683; (iii) Schol. Eur. *Or.* 1621

318. πέροδον καὶ περιέναι

Cramer *Anecd. Oxon.* iv 309, 20 (ἀντὶ τοῦ περίοδον καὶ περιιέναι)

319. προβάτων τράπεζαν

Aristoph. Byz. fr. 42 Nauck (de equis Diomedis, τὴν φάτνην αὐτῶν λέγων)

320. ὑψικέρατα πέτραν

*Etym. Magn.* 504, 3

321. χεράδει σποδέων

*Etym. Magn.* 808, 43   Boeckh ϛ'Πυθίων, coll. Pyth. vi. 13

322. καὶ ἐπιθετῶν δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διεκπέφηνεν, ὡς ὅτε (λέγει) ἵππον κρατησίποδα, τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ . . . κραταίποδες.

Eustath. *Prooem. Comm. Pind.* 16. Ad *Pyth.* x 16 spectare videtur

323. καὶ Δία . . . ἐρισφάραγον (καλεῖ)

Id. ibid.

324. βρέχετο· ἀντὶ τοῦ κατεσιωπᾶτο. συνήθως γὰρ τὸ βρέχειν ἐπὶ τοῦ σιωπῆσαι τίθησι. καὶ ἀλλαχοῦ μὴ σιγᾷ βρεχέσθω.

Schol. Pind. *Ol.* x 62 τὸ βρέχεσθαι . . . σιωπᾶσθαι V βρεχέσθω V : βρέχεσθαι A

325. προκεχειρισμένων δὲ καὶ ταύτῃ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσαν καὶ διαφαγοῦσαν τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα . . .

Plut. *de Ser. Num. Vind.* 32, p. 567 (de Neronis imagine). Latet sane corruptio

326. μετὰ δὲ τοὺς κατειλεγμένους (βωμοὺς) Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν ἐπὶ ἑνὸς βωμοῦ· τὸ δὲ αἴτιον τούτου παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετριναίοις.

Paus. v 14, 6. *Nem.* i 1–3 significari demonstravit Schneider

327. Pro honore itaque, ut dixit olim Pindarus, silentium laetabundus suscipiam.

Philo *de Provid.* ii, p. 120. Ad Simonidis fr. 38 (Diehl) spectat

328. Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι.

Iul. Imp. *Ep.* 194, p. 264 Bidez-Cumont. Ad *Pyth.* xi 42 et *Isthm.* ii 8 spectat

329. Πίνδαρος δὲ εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια.

Stob. iv. 47. 12. Platoni apothegma attribuit Ael. *V.H.* xiii 29, Aristoteli Diog. Laert. v 18

330. καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μέτρα

Schol. Townl. *Il.* Ω 277. Ad *Ol.* xiii 20 spectat

331. μόνον τὸ εὖαν θηλυκὸν παρὰ Πινδάρῳ

Cramer *Anecd. Oxon.* iv 329, 17 εὐνάν Dindorf, sed in loco perobscuro nihil tentandum

332. ὀρειᾶν γε Πελειάδων· ἔνιοι δὲ διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι κατὰ ὕφεσιν τοῦ υ (λέγεσθαι), ὡς καὶ τὸ Κλειός ἕκατι, ἀντὶ τοῦ Κλειοῦς.

Schol. Pind. *Nem.* ii 17. Ad *Nem.* iii 83 fortasse spectat

333. (ὀνομάκλυτος Ἄλτης)· κατὰ σύνθεσιν οὖν ὡς τοξόκλυτος· ἔστι γοῦν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· ὀνομακλύτα γάρ ἐστιν.

Schol. Townl. *Il.* Χ 51

334. ῥερῖφθαι· ἔπος παρὰ τῷ Πινδάρῳ

Choerob. ii 80, 23

335. σκότιον ὡς λόγιον· τὸ γὰρ κύριον . . . παροξύνεται παρὰ Πινδάρῳ.

Schol. BT *Il.* Ζ 24

336. δαυλός· ὁ δασύς. παρὰ τὸ δάσος γίνεται ῥῆμα δασῶ, ὡς τεῖχος τειχῶ, ἀφ' οὗ Πίνδαρος τετείχηται.

*Etym. Magn.* 249, 50. E *Pyth.* vi 9 et *Isthm.* v 44 fluxisse error videtur

337. διὸ καὶ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν καὶ ὁ Πίνδαρος τριγλώχινα.

Eustath. ad Dion. Peri. 467 (de Sicilia). Ad Callimachi fr. 382 refert Bergk

338. τὸ γὰρ σκότος εἰρῆσθαι ψέφας καὶ παρὰ Πινδάρῳ.

Dioscor. ap. Gal. *Comm. Hippocr.* xvi 763. Ad *Nem.* iii 41 referre demonstrat *Etym. Magn.* 818, 33

339. καίτοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος ᾖ τις ᾖ, Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων οὐκ ἐπαινεῖται.

Galen *de Puls. Diff.* viii 681

340. οἷς χαίρει τις, κατὰ Πίνδαρον τούτοις καὶ τιμωμένοις ἥδεται.

Hermog. ap. Ioan. Sic. (*Rhet. Graec.* vi 395, 7 Walz) τιμωμένοις Poynton: τιμώμενος codd.

ad 341–43 Snell H. 75 (1940) 177–191 n.p.

## *FRAGMENTA INCERTI AVCTORIS*

**341.** ακ . μην[
ἄγει τ' ἐκ κ[
τονας ενθ[
πορθμευοντ[
νήϊδα[.]οδοτ[
τα χερσὶ πεδα[
διὰ ποταμὸν [
ἵπποις ἔχων [
ἄλλοτε δὴ πελ[
ἀφροδισιᾶν μ[
κένταυρος α̣ϊ[
κελάδησε δὲ̣ [
φίλον πόσιν ικ[
σπευδ[. .]ν̣ ἔτι η̣ [
γυν[αικὶ] φον[
πυριδαὲς ὄμμα [
φόνον τε καὶ δ[
Ἀφαίστου προ[
ενδαυ̣βρομωχ̣[
ἐν χειρὶ δεξ[ιᾷ
ῥόπαλον μέγα [
φη̣[.]ο̣[.] ἀγρίου [
οὔατος μέσσον [
συνάραξέ τε π[
ὀμμάτων τε σ[
ὀφρύων τε πε[
πόδεσσιν ἀθρ[
]σιν επ[
]νδρου[

b. ]ντων
]αι
]ρον εσπε
]εαν

Pap. Berol. inedit. 16140. Saec. p.c. i vel ii. Nullum nomen auctoris. Ut videtur, de Nesso et Deianira narrat poeta. 17 σπεύδ[ει]ν Roberts 18 γυν[αικὶ] φόν[ον Roberts 22 Fortasse ἐν δάϊ 25 φη[ρ]ὸ[ς] Roberts

**342.** τεκνος θυμὸν αι[
οὐ γάρ τις ἀνθρωπ[
δικοι μοῖραι παρα[
στᾶσαι φατίζωσιν [
φύξις ⟦οὐ⟧ διχ̣αλκεο[
μνήσ̣η κ̣ε τάδε βρο[
ὄλβος τε̣ . . ο̣ι̣υ̣π̣α̣
ταῦτ' ἐ[
πάντ̣[
.[
σ̣[

Pap. Berol. inedit. 16139. Saec. p.c. i vel ii. Nullum nomen auctoris

**343.** a. ἥρωΐ τε βω[μὸν
τῷ τάνδε [
δῶκεν· οπ[
πόντοιο [
Παλλάδα [
.]επτοιτ[. . . . . . . . . .]ωσαι δὲ π[
σὺν πάντ[. . . . . . . . . .]ώτερον α[
ὕμνων ερ[. . . . . . . . .]γορίαις
θάλλο[ν]τι [. . . . . . . . . . . . . .]π[.]οσ[ } Snell. H. 73, 431
πολυ̣[η]ρατο[. . . . . . . . . . . . .]ε[.]κ̣α[
νῦν [. .]ανθ[
νύμφαν ο̣υ[
θυ⟦ο⟧ι' αἰγίδ' αμ[
ἱστάμεναι τελ[
δωνταννα⟦ε⟧ [ ]σὺν κτύπῳ [
δησάμενα[ι] πλ̣[ο]κ̣άμους
μύρτων υ[ ] σφιν ἔγειρον[
αἰθέρι ἑλικ[ ]δὲ πορφυ-
ρέαις σὺν κροκ[ ]π̣ιν ἀεὶ πρ[
εὐάνπυκι ἐν [ ]μῳ σέλα̣[ς.
ἐν δαιτί τε πά[ντες ἐκ]εῖ μάκαρ[ες

ἔνθεν μὲν ἄρ[ξατο ]ατων Ὀλυ[μπίων
τὰν πολέμου [ ]ν
σαμάντορι [
ἐν χρ[

b.
] τοία τις ἐμ[
]σαι σταθεισαι[
]ν
]τα[ι]ς ὀλολυγαῖς [
] ἔμαθον δ' ὅτι μοῖραν [
ἄ]λλαις ἐπλα[. . .] πάθαις
]θ' ἕδραι θε[. .]ον
ἔ]σχον τον[. . . .
]λ̣' εἰ καὶ νῦν τ̣έρ̣ας Δι[ὸς
] γόνου τοῦ 'ν ἀμπέλ[οις
]ατων· οὐδ' Ἀχελωιο[
]
]
]ιναν μνᾶμ' ἔτι τοῦ[το
]όντεσσι πιθεσθ[. . . . .]αι
]ε δ' ἀμφ[
]εσποτ[
]ι̣τεγ̣[
]ωιν̣α[
]συ[

c.
ὅστ]ις ἐχθρῶν ὁμιλήσειε[ν] α̣[
εὐ]ηράτου πάτρας ἑκὰς
]ερας.
χ]εῖρας ἀραιὰς
φ]έρτατος ἀνθρώπων
ο]ὐκ αἰσχρὸν πάθοις
]σις ἀνανύτοις εὗρεν
]ιαν αἶσαν

]
ε]ὐθ[υ]πορήσαν[·]
] φ[ρὴ]ν προκ̣ρίνοι
]ση καλεῖν
] εἴ τις ἄτερθεν
]χας
] δὲ θυμῷ
]εν εἰ κατέβα[
]
]
]ν ὁπότε
λ]ύον[τ]ές νιν ἐκ
τύ]χαν νέμειν
]
]σ̣αν̣
ἁπάντ]ων κύριοι
]ευ[

d. ]σιωνε[
] Ἀχιλλῆα [
]ν̣ε̣σ̣τ̣ι̣ν̣[

e. ]εια . [
]ντι[
]ιωναπ̣[

f. ]δεων
] . ν
deest linea
]ων
desunt lineae duo
]ων

g. Nihil superest nisi ]ξακτ[ in 1 et ]ελ[ in 5.

h.
]ουκε[
]σα τουτ[
]εισπε[
]κρυον ωνα . [
]νεωτερο[
]τεραν [
]νηκα[
]ε καὶ τ[

i.
]νν[
]πατρ[
]δεπ[
] ἔνκ[

